B

APPENDIX

AD

DRACONEM STRATONICENSEM

COMPLECTENS

TRICHAE

ELIAE MONACHI

ET

HERODIANI

TRACTATVS DE METRIS

EX CODD. MSS.

EDIDIT

FRANCISCVS DE FVRIA

LIPSIAE

SVMTIBVS IO. AVG. GOTTL. WEIGELII

MDCCCXIV.

APPENDIX

AD

DRACONEM STRATONICENSEM

PROSTAT

LONDINI
APVD W. H. LVNN
— TH. BOOSEY

LVGDVNI BATAVORVM
APVD S. ET I. LVCHTMANS
— A. ET I. HONKOOP

ROMAE
APVD MARIANVM DE ROMANIS

FLORENTIAE
APVD GVILIELM. PIATTI

HAMBVRGI
IN LIBRARIA BOHNIA

VIENNAE
APVD C. SCHAVMBVRG ET SOC.

PARISIIS
APVD DE BVRE FRATRES
— FR. SCHOELL
— A. A. RENOVARD
— TREVTTEL ET WÜRZ.

TRICHAE
TRACTATVS DE METRIS.

ELIAE MONACHI
DE DIVERSIS METRIS.

HERODIANI
ΠΕΡΙ ΤΗΣ ΛΕΞΕΩΣ ΤΩΝ ΣΤΙΧΩΝ.

PRAEFATIO.

Hoc libello, qui *Draconi Stratonicensi* nuper evulgato tanquam appendix accedat, complexi ſumus, e libris manu ſcriptis longe maximam partem nunc primum erutos, tractatus metricos Trichae, quem inſcriptio, ſatis notā in illorum temporum ſcriptoribus appellatione, *Sapientiſſimum* dicit, Eliae Monachi et Herodiani. Non multum quidem lucis (fatebimur enim) accendunt argumento, in quo illuminando Philologorum ſtudia cum maxime laudabiliter fervent: ceterum non magis indigni, qui publici iuris fierent, nobis quidem viſi ſunt, quam alia Graecorum Grammaticorum ſcripta, quae noſtra aetas e Bibliothecarum clauſtris prodire vidit.

I. *Trichae Tractatum de Metris* edidimus e Codice Ms. Bibliothecae Abbatiae Florentinae, nunc Laurentianae. De eo conſulendi Io. Alb. Fabricius Bibl. Gr. Lib. V. c. 7. p. 78. Montefalconius Diar. Ital. p. 368. nec non

Labbaeus Bibl. Nov. MSS. qui tradit, hunc tractatum in nonnullis Bibliothecis ineditum delitefcere. Et fane exftat etiam in Parifienfi et in Veneta D. Marci, ut ex editis earum Catalogis comperimus.

II. *Eliae Monachi Tractatus de Metris* erutus a nobis eft e Codice MS. 16. Plutei LVI. Bibliothecae Mediceae Laurentianae.

III. Ex eodem Codice petiimus *Herodiani περὶ τῆς λέξεως τῶν στίχων* fcriptionem perbrevem.

Omnia dedimus ut in Codicibus leguntur, fcripturae vitiis, quae numero plurima ac faepe foediffima funt, plerisque confulto fervatis; quibus paffim (non ubique, fed fere ubi vitium *παλαιογραφικῶς* notabile effet,) in margine adfcripfimus notam *fic*, ne, quae librarii ftupor commiferat, operarum negligentiae, quod de aliis huiusmodi libris temere factum vidimus, tribuerentur.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΤΡΙΧΑ

ΣΥΝΟΨΙΣ

ΤΩΝ ΕΝΝΕΑ ΜΕΤΡΩΝ [1]).

α΄. Ἰαμβικόν.

Μέτρων σύνοψις ὕμνος ἁγνῇ παρθένῳ·
Ἡ τῶν ἀμίκτων ἐντόκῳ μίξις κόρη·
Ἡ μὴ φθαρεῖσα καὶ τεκοῦσα παρθένος
Ἄνανδρε μῆτερ βάτε λαβὶς πυρφόρε.

Τὸ κωλόν.

Κλίμαξ ἰακώβ· Ἀάρων θεία ῥάβδε [2]).

β΄. Τροχαϊκόν.

Βασίλεια καλλίπαις θεοῖο νύμφα μοι ἁγνά·
Ἃ χοροῖς εὐαγέεσσιν ἀγγέλων οὐρανίων
Ἀμερίων τληπόνων καινῶς ἐνήλασας φυλάν [3]).

Τὸ κωλόν.

Ἐξ ἰλύος [4]) αἰθέριον ἀμφιβάσασ᾽ εἰς [5]) ὕψος.

γ΄. Δακτυλικόν.

Ἃ τὸν παντογόνου αἰωνοτόκου βασιλῆος

---

1) Variae Lectiones, quae heic referuntur, desumptae sunt ex Cod. 125. Laurentianae Bibliothecae, ex Ladd. rell. ubi hoc tantum Carmen occurrit.

2) In Cod. ῥάνδε. 5) φυλά. 4) ὑλίος. 5) deest.

Υἱέα παμμεδέοντα λόγον κόσμου γεννετῆρα,
Ἐκ καθαρῶν λαγόνων τίκες, ἁγνὰ φυλαχθεῖσα.

Αἰολικόν.

Ἐκ σέθεν μὲν ἄνασσα δανεισάμενον πάχος ὕλας·
Ἶσον μοί τε [6]) φανέντα ἁμαρτάδος ἔκτοθι λυγρῆς·
Ὁ δ' ἔην μείναντα θεὸν μέγαν ἄμβροτον ἐσθλόν.

Λογοαοιδικόν.

Ἀνίδεον θεότητα λόγοις ἀφάτοισιν ἄμμιν
Μίξει ἀφύρτῳ κεράσαντα φύσα [7]) βροτεία
Καὶ θεὸν ἀμερίοισι βροτόσωμον φανέντα.

δ'. Ἀναπαιστικόν.

Σὺ μάκαιρα κύδιμε ἀριστοτόκεια κόρα κεδνά,
Ἐμέθεν μελέων ἐμέθεν κραδίης ἰθύνουσ' ὁρμάν,
Ἵνα λῷον ἔγοις κατὰ σόν με θέλημα ὁδηγεῦσα.

Αἰολικὸν ἀναπαιστικόν.

Νόες [8]) γὰρ ἀδρανέες ἄμμιν ἀνάλκιδες ἀπροτίοπτοι
ἀβληχροί.

Λογαοιδικόν.

Μόρον οὐ νοέοντες ἐφιστάμενον κατ' ἄντην [9]).

έ. Χοριαμβικόν.

Σοι οδ' [10]) ἄνευ, μὴ δὲ πνοᾶς μέτρον ἔχει ζώομεν [11])·
Ἀλλά γε καὶ ἠρεμόωντα [12]) τρεμέη βιοτᾶ.
Καί τε καθ' ὑπνεῦντα [13]) με διαμπερέως [14]) φρουρέοις.

Μικτόν.

Ἠπιόωσα [15]) προςπώλω εὐδιόωσα πόντον.

ς'. Ἀντισπαστικόν.

Ὁδῷ δ' εἰναβάτω καὶ παρ' ἐρήμαισιν ἀρούραις.

---

6) μήτι. 7) κιρνάσαντα φύσει. 8) Νούς. 9) κατὰ ταύτην. 10) Σοῖο δ' ἄνευ. 11) ζωέ μεν. 12) ἠνεμ. 13) ὑπνεύοντα. 14) διαφερόντως. 15) Ἠοιΐόωσα.

Πολεῦντος πότνιά μεν παρ' ὁμάρτε[16]) ἐπίκουρος[17])
Ἐν[18]) ὄρφναις μὲν, ἀφεγγέσι φαείνοισα[19]) κελεύθους.

Μικτόν.

Λύοισα δνοφερὰν κνέφαος[20]) ὀργάν[21]).

ζ. Ἰωνικὸν ἀπὸ μείζονος.

Ἐν δ' ἀμερίῳ φωτὶ φλέγοισα ζέσιν ἡλίου·
Καὶ λαβρον ἐρύκοισα νεφῶν ὀμβροφόρων ῥοῖζον·
Χ' ὡς παῖς πόκα πότνια σός, ἐφ' ἅμμιν τερατουργεῦσα.

η. Ἰωνικὸν ἀπ' ἐλάσσονος.

Ἀπάγοις ἐκ κακότητος μογεροῦ νη πεδίου[22]).
Διαγοισ' ἀβλαβέα παντοδαπῶν ἐξ ὀλέθρων.
Ἐνάγοις ἐς[23]) θαλέθοισαν μυρίοις γ'[24]) ἂν ἀγαθοῖς.

Μικτόν.

Ὀράον[25]) τί μοι ποτῆτος· στερεῆς ἄρ' ἀπὸ πέτρης
Πόμ' ἀκήρατον διδοῖσα.

θ'. Παιωνικόν.

Στρατὸν ἀπερείσσιον[26]) ἀεσσίφρον' ἀπεχθέα[27]),
Αἰὲν ὀλοόφρονα πονηρότατον αἰόλον,
Τάρταρον ἐς εὐρέα βαλοῖσ'[28]) ἐμεῦ ἀπωτάτω.

Μικτόν.

Ἵνα τοι[29]) ῥύσι' ἄσοιμι συνθεὶς[30]) βρόχων ἀντιπάλων.

Βακχειακόν.

Ἐραννὰν[31]) πονησάμενος κούρα λύραν.

---

16) παραμάρτεον. 17) ἐπίκουρον. 18) Εἰ. 19) φαεινοισα. 20) κνέφεος. 21) ὀρμάν. 22) νηπεδίου. 23) ἐν. 24) κ'. 25) Ὑράον. 26) ἀπειρεσίον. 27) ἀπαχθέα. 28) εὐρέα βασιλοῖς. 29) σοι. 30) ῥύσιά σοι μι σωθείς. 31) Ἐρατνὰν.

ΕΠΙΜΕΡΙΣΜΟΙ ΤΩΝ Θ΄ ΜΕΤΡΩΝ.

Περὶ ἰαμβικοῦ.

Τεσσάρων ὄντων τῶν δισυλλάβων ποδῶν, πυῤῥιχίου, ἰάμβου, τροχαίου, καὶ σπονδείου, δύο μόνοι τούτων μέτρον ἀποτελοῦσιν, ἴαμβος καὶ τροχαῖος· ὁ μὲν ἴαμβος, τὸ ἰαμβικὸν, ὁ δὲ τροχαῖος, τὸ καλούμενον τροχαϊκὸν μέτρον. πυῤῥιχιακὸν δὲ ἢ σπονδειακὸν μέτρον οὐχ εὕρηται. προτέτακται μέντοι τῶν ἄλλων τὸ μέτρον τὸ ἰαμβικὸν, οὐχ ὅτι τῶν λοιπῶν τιμιώτερον, οὐδ᾽ ὅτι πρότερον, ὡς ἔνιοι φασὶν, εὕρηται· ἀλλ᾽ ὅτι πάντων ἐλαχιστότερον. καὶ γὰρ ἐκ δισυλλάβων σύγκειται ποδῶν ὡς ἐπὶ τὸ πολὺ τὸ ἰαμβικόν· τὰ δ᾽ ἄλλα ἐκ τρισυλλάβων, οἷον τό τε δακτυλικὸν καὶ τὸ ἀναπαιστικόν· ἢ καὶ τετρασυλλάβων, ὡς τὰ ἰωνικά· περὶ ὧν προϊόντες ἐροῦμεν. ἐπεὶ οὖν ἀπὸ τῶν ἐλαχιστοτέρων καὶ βραχυτέρων ἔθος ἐστὶ προβαίνειν, διὰ τοῦτο τὸ ἰαμβικὸν μέτρον τῶν ἄλλων προτέτακται. εἰ δέ τις ἡμῶν ἀποροίη, ὅτι καὶ τὸ τροχαϊκὸν ἴσον αὐτῷ ἐστὶ, καὶ κατὰ τὰς συλλαβὰς, καὶ ἄμφω γὰρ δισύλλαβα, καὶ κατὰ τοὺς χρόνους, ὅτι καὶ ἀμφότερα τρίχρονα· ἐροῦμεν, ὡς [1]) κατ᾽ ἀρχὰς βραχύτερος ὢν πάλιν ὁ ἴαμβος τοῦ τροχαίου προτέτακται· ἀπὸ δὲ

1) Supra scriptum ὅτι.

τούτου καὶ τὸ ἰαμβικὸν τοῦ τροχαϊκοῦ· ὁ μὲν γὰρ ἴαμβος ἀπὸ βραχείας ἄρχεται, οἷον ἔρως· ὁ δ᾽ ἀπὸ μακρᾶς ὁ τροχαῖος, οἷον δοῦλος. δέχεται δὲ τὸ ἰαμβικὸν μέτρον κατὰ μὲν τὴν τῶν παλαιῶν ἄδειαν καὶ συνήθειαν, ἐν μὲν ταῖς περιτταῖς χώραις, τουτέστι τῇ ά καὶ γ̄ καὶ ε̄ τοὺς πέντε τούτους πόδας· ◡ – ἴαμβον, ◡ ◡ ◡ χορεῖον, – – σπονδεῖον, – ◡ ◡ δάκτυλον, ◡ ◡ – ἀνάπαιστον. ἔστι δὲ ἴαμβος μὲν, ὡς ἔφαμεν, ὁ ἐκ βραχείας καὶ μακρᾶς συγκείμενος, οἷον ἔχω. ὃς εἴτε ἀπὸ Ἰάμβης γραὸς οὕτως ὠνομάσθη, ἐξ ἧς καὶ τὸ μέτρον εὑρεθῆναι φασὶν, ἅτε δὴ πρώτως αὐτῷ χρησαμένης αὐτομάτως, εἴτε παρὰ τὸ ἰὸν βάζειν, εἴτε ἀπὸ τοῦ Ἰάμβην τινὰ κόρην λοιδορηθεῖσαν τούτῳ τῷ μέτρῳ καταλῦσαι τὸν βίον, εἴτε ἀλλοθενοῦν, οὕτως ἐχέτω καὶ ὀνομαζέσθω. ὁ μὲν οὖν ἴαμβος, ὅπερ ἔλεγον, ἐκ βραχείας συντέθειται καὶ μακρᾶς. ὁ δὲ χορεῖος ἐκ τριῶν βραχειῶν, οἷον λάβετε, φέρετε. χορεῖος δὲ ὠνόμασται, ὅτι πρὸς τὰ ἐν τοῖς χοροῖς μέτρα πολλάκις παραλαμβάνεται τοῖς τε τραγικοῖς καὶ τοῖς ἰαμβικοῖς. ὁ δὲ σπονδεῖος ἐκ δύο μακρῶν, οἷον ἥρως. λέγεται δὲ οὕτως διὰ τὸ ἐν ταῖς ἱερουργίαις μάλιστα καὶ σπονδαῖς τοῖς παλαιοῖς παρειλῆφθαι. ὁ δάκτυλος δὲ ἐκ μακροῦ καὶ δύο βραχειῶν, οἷον σύλλογε, λάμβανε. ὃν οἱ μὲν ἀπὸ τῆς ἐν ταῖς χορδαῖς γινομένης τῶν δακτύλων κινήσεως οὕτως ὀνομασθῆναι φασίν· οἱ δὲ ἀπὸ μεταφορᾶς τῶν ἡμετέρων δακτύλων, οἳ τὸ μὲν ᾱ ἀπὸ τοῦ καρποῦ ὀστοῦν ἐκτεταμενώτερον καὶ μακρότερον ἔχουσι, τὰ δὲ ἐφεξῆς δύο βραχύτερα καὶ συνεσταλμενώτερα. ὁ δὲ ἀνάπαιστος, ὃν τινὲς καὶ ἀντιδάκτυλον καλοῦσι διὰ τὸ ἐναντίως ἔχειν τῷ δακτύλῳ, ἐκ δύο βραχειῶν καὶ μακρᾶς σύγκειται, οἷον λεγεών.

αἱ μὲν οὖν περιτταὶ χῶραι τοῦ ἰαμβικοῦ μέτρου, ὡς ἐλέγομεν, τούτους δέχονται τοὺς ε̄ πόδας· αἱ δ' ἄρτιοι, ἤγουν ἡ β̄ καὶ ἡ δ̄ ἐκ τῶν εἰρημένων ε̄ ποδῶν τοὺς ἀπὸ βραχείας ἀρχομένους μόνους δέχονται, ἴαμβον· φημὶ τὸν ὁμωνυμοῦντα τῷ μέτρῳ, καὶ χορεῖον· παρὰ δὲ τοῖς κωμικοῖς καὶ ἀνάπαιστον· ἡ δὲ ς̄ ἴαμβον ἢ πυῤῥίχιον, ὅς ἐστιν ἐκ β̄ βραχειῶν, οἷον λόγος. πυῤῥίχιος δὲ ἐκλήθη διὰ τὸ ἐφηρμόσθαι μάλιστα τῇ συντόμῳ κινήσει τῆς ὀρχήσεως, ἣν πυῤῥίχην καλοῦσι, σύντομον ὄντα καὶ αὐτὸν καὶ βραχύτατον, ἢ διὰ τὸ ἔχειν βραχύτατον τὸν χρόνον τῶν λοιπῶν δισυλλάβων ποδῶν· μόνος γὰρ οὗτος δίχρονός ἐστι. δέχεται δὲ τὸν πυῤῥίχιον ἐπὶ τέλει τὸ ἰαμβικὸν μέτρον διὰ τὸ ἀδιάφορον εἶναι παντὸς μέτρου τὴν τελευταίαν συλλαβὴν, τουτέστι μακρὰν ἢ βραχεῖαν. καὶ σημειῶσαι τοῦτο ἐπὶ πάντων. τούτοις πᾶσι τοῖς ποσὶ κέχρηνται οἱ παλαιοὶ ἰαμβοποιοί. καὶ λάμβανε παραδείγματα ἔκ τε τῶν Εὐριπίδου καὶ Αἰσχύλου καὶ Ἀριστοφάνους δραμάτων, καὶ τῶν λοιπῶν τραγικῶν τε καὶ κωμικῶν. ἡμεῖς δὲ ἐν μὲν ταῖς περιτταῖς χώραις ἴαμβον καὶ σπονδεῖον, ἐν δὲ ταῖς ἀρτίαις ἴαμβον μόνον δεχόμεθα, ἐν δὲ ς̄ ἴαμβον ἢ πυῤῥίχιον. καὶ δέχου τὰ παραδείγματα ἐκ τῶν προκειμένων ἰάμβων. ἔστι δὲ τοῦ ἰαμβικοῦ μέτρου περιφανέστατον μὲν, τὸ ἀκατάληκτον τρίμετρον. τρίμετρον δὲ λέγεται τὸ ἓξ ἔχον ἁπλοὺς πόδας ἰαμβικὸν, οἷα εἰσὶ τὰ προκείμενα. καλεῖται δὲ τρίμετρα διὰ τὸ κατὰ διποδίαν βαίνεσθαι καὶ μετρεῖσθαι τὰ ἐκ δισυλλάβων ποδῶν συγκείμενα μέτρα, οἷον ἐστὶ τοῦτο τὲ καὶ τὸ τροχαϊκόν. τὸ μὲν οὖν περιφανὲς ἰαμβικὸν, ὡς ἐλέγομεν, τοῦτο ἐστὶ τὸ ἀκατάληκτον τρίμετρον· ὃ καὶ νῦν, διὰ τὸ

σύνηθες καὶ ἐπισημότατον εἶναι, παραδείγματος χάριν ἐκτίθεται. ὑφίσταται δὲ ἐκ τούτου τοῦ μέτρου κατὰ ὑφαίρεσιν καὶ πρόσθεσιν, μονόμετρα, καὶ δίμετρα, καὶ τρίμετρα, καὶ τετράμετρα, καὶ πεντάμετρα· προσέτι καταληκτά τε καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα καὶ ὑπερκατάληκτα. καὶ σκόπει μοι τὸ λεγόμενον, ὡς ἐκ τῶν παραδειγμάτων σαφέστατον γένηται. μονόμετρον μὲν οὖν ἐστὶν ἰαμβικὸν βραχυκατάληκτον, τὸ ἐξ ἑνὸς μόνου ποδὸς ἁπλοῦ συγκείμενον, οἷον τὸ, φεῦ φεῦ. ἢ εἰ δεῖ καὶ ταῦτα ἐκ τῶν προκειμένων λαμβάνειν, οἷον τὸ, κόρη. βραχυκατάληκτον δὲ καλεῖται, διότι λείπεται ὁλοκλήρῳ ποδὶ πρὸς τὸ ἀκατάληκτον μονόμετρον ἀπαρτίσαι. ὅσα γὰρ κατὰ διποδίαν μετρούμενα τέλειον ἁπλοῦν ἕνα λείπεται πόδα, βραχυκατάληκτα γίνεται. μονόμετρον δὲ καταληκτικὸν τὸ ἐξ ἑνὸς ἡμίσεος ἁπλοῦ ποδὸς συγκείμενον, οἷον τὸ, ἄνανδρε, εἰς συλλαβὴν γὰρ ἐνταῦθα τῆς δευτέρας χώρας τὸ μονόμετρον καταλήγει, ἤτοι πόδα ἔχει ἁπλοῦν καὶ συλλαβήν. τὰ δὲ μιᾷ συλλαβῇ λειπόμενα πρὸς τὸ διποδίαν ὁλόκληρον ἀποτελέσαι καταληκτικὰ καλεῖται. μονόμετρον δὲ ἐστὶν ἀκατάληκτον τὸ ἐκ δυοῖν ἁπλῶν συντιθεμένον ποδῶν· κατὰ γὰρ διποδίαν, ὡς ἔφαμεν, τὸ ἰαμβικὸν βαίνεται μέτρον, ὡς Ἡφαιστίων φησίν. ὅσα δὲ τέλειον τὸν τελευταῖον ἔχουσι πόδα, καὶ μήτε περιττεύοντα, μήτε λειπόμενον, οἷον τὸ, μίξις κόρη, ἀκατάληκτα εἰσὶν ἁπλῶς. ὑπερκατάληκτον δὲ μονόμετρον, τὸ τὸν τέλειον καὶ μηδέν τι λειπόμενον πόδα ὑπερβαῖνον μιᾷ συλλαβῇ, οἷον τὸ, ἡ τῶν ἀμίκτων. μονόμετρα μὲν οὖν ταῦτα. δίμετρον δὲ, βραχυκατάληκτον μὲν πάλιν, οἷον τὸ, τεκοῦσα παρθένος· ὅλῳ γὰρ ποδὶ μεμείωται ἐπὶ

τέλους πρὸς τὸ δίμετρον ἀκατάληκτον ἀπαρτίσαι. καταληκτικὸν δὲ, ὡς τὸ, ἄνανδρε μῆτερ βᾶτε· μιᾷ γὰρ συλλαβῇ λείπεται εἰς τὸ διποδίαν ὁλόκληρον ἀποτελέσαι. ἰστέον δὲ, ὅτι τοῦτο τὸ καταληκτικὸν δίμετρον καὶ ἡμίαμβον παρ' ἡμῖν ὀνομάζεται. ἐπίσημον δὲ ἐστὶ καὶ τοῖς παλαιοῖς Ἀνακρεόντιον λεγόμενον, ὡς πολὺ αὐτῷ κεχρημένου τοῦ Ἀνακρέοντος. ἀκατάληκτον δὲ, ὡς τὸ, ἀμίκτων ἐντόκῳ· ὁλοκλήρους γὰρ ἔχει τὰς β διποδίας, καὶ οὐδαμῶς καταλήγει. καὶ τουτο δὲ ἐπισημειοῦνται οἱ παλαιοὶ, καὶ Ἀνακρεόντιον ὀνομάζουσιν. ὑπερκατάληκτον δὲ τοῦτο, ἡ μὴ φθαρεῖσα καὶ τεκοῦσα· πρὸς γὰρ ταῖς δυσὶ διποδίαις πλεονάζει μιᾷ συλλαβῇ. καὶ δίμετρα μὲν ταῦτα. τρίμετρα δὲ, βραχυκατάληκτον μὲν τόδε, ἡ τῶν ἀμίκτων ἐντόκῳ μίξις· ὁλοκλήρῳ γὰρ λείπεται ποδὶ πρὸς τὸ τὴν τριμετρίαν ἀναπληρῶσαι. καταληκτικὸν δὲ, ὡς τὸ, ἄνανδρε μῆτερ βᾶτε λαβὶς θεία· μιᾷ γὰρ συλλαβῇ λείπεται προς τὸ τρίμετρον ἐκτελέσαι. τρίμετρον ἀκατάληκτον ἕκαστον τῶν προκειμένων τεττάρων ἰαμβείων ἐστί. καὶ ἡμεῖς μὲν περαιτέρως τοῦ ἀκαταλήκτου τριμέτρου οὐ προβαίνομεν. εἰσὶ δὲ καὶ τρίμετρα ὑπερκατάληκτα, ἃ μιᾷ συλλαβῇ τῶν ἐκκειμένων περιττεύουσι, καὶ ἔτι τετράμετρα βραχυκατάληκτά τε καὶ καταληκτικὰ, καὶ ἀκατάληκτα, καὶ ὑπερκατάληκτα, ὡς οἱ παλαιοί φασι μετρικοί. καὶ εὕροις ἂν χρωμένους τούτοις τούς τε κωμικοὺς καὶ τοὺς τραγικούς. τοῖς μέντοι πενταμέτροις καὶ οἱ παλαιοὶ αὐτοὶ σπανιώτερον κέχρηνται. ταύτη τοι καὶ περιττόν μοι δοκεῖ περὶ τούτων τὶ λέγειν, ἄλλως τε κἀκ τῶν ἤδη ῥηθέντων καὶ αὐτῶν δηλωθέντων. ἔστι δέ τι καὶ τὸ χωλὸν καλούμενον ἰαμβικόν· ὃ τρίμετρον ἐστὶ καὶ αὐτό. διαφέρει δὲ τοῦ παρ'

ἡμῖν ὀρθοτάτου, παρ᾽ ὅσον τὸ μὲν ὀρθὸν τὴν τελευταίαν βάσιν ἰάμβῳ ἢ πυῤῥιχίῳ, ὡς εἴπομεν, ἀπαρτίζει· τὸ δὲ χωλὸν τροχαίῳ ἢ σπονδείῳ. ὅ τινες μὲν Ἀνανίου φασὶν εὕρημα· τινὲς δὲ Ἱππώνακτος. τῇ γὰρ ἄνωθεν ῥηθείσῃ ἐντυχὼν, φασὶ, γραῒ, ἥτις Ἰάμβη ἐκαλεῖτο, ἔρια ἐν τῇ θαλάσσῃ πλυνούσῃ τῇ σκάφῃ καὶ πλησιάσας ἤκουσε παρ᾽ αὐτῆς· Ἄνθρωπ᾽ ἄπελθε, τὴν σκάφην ἀνατρέψεις· τὸν δὲ ἀκούσαντα τοῦτο, ἐκ τούτου τὸν χωλὸν ἐπιτηδεύσασθαι ἴαμβον. παράδειγμα τοῦ μὲν τροχαίῳ ἀπαρτίζοντος τὴν ἕκτην χώραν χωλοῦ ὁ ἀνώτερον τεθεὶς χωλὸς ἴαμβος· τοῦ δὲ σπονδείῳ τὸ ἐπὶ τῷ Ἱππώνακτι γεγραμμένον παρὰ τοῦ Θεοκρίτου ἐπίγραμμα, ἐκ χωλῶν γάρ ἐστιν ἰάμβων·

Ὁ μουσοποιὸς ἐνθάδ᾽ Ἱππῶναξ κεῖται.
Εἰ μὲν πονηρὸς, μὴ προσέρχου τῷ τύμβῳ·
Εἰ δ᾽ ἐσσὶ κρήγυός τε καὶ παρὰ χρηστῶν,

καὶ τὰ ἑξῆς. τοσαῦτα περὶ τοῦ ἰαμβικοῦ.

Περὶ τροχαϊκοῦ.

Εὔλογος δὲ ἡ τάξις μετὰ τὸ ἰαμβικὸν μέτρον τὸ τροχαϊκὸν τετάχθαι, ὅτι τε, ὡς ἔφαμεν, μετὰ ἴαμβον δισύλλαβος ποὺς μόνος ὁ τροχαῖος μέτρον ἀποτελεῖ, καὶ ὅτι ἀντιπαθὴς καὶ οἷον ὑπεναντίος τῷ ἰάμβῳ ὁ τροχαῖος· ὅτι ὁ μὲν ἐκ βραχείας συντίθειται καὶ μακρᾶς ὁ ἴαμβος, ὁ δὲ τροχαῖος ἔμπαλιν ἐκ μακρᾶς καὶ βραχείας. ταύτῃ καὶ εἰ ἀφέλῃς ἐκ τοῦ ἰαμβικοῦ τριμέτρου καθαροῦ, φέρε εἰπεῖν, μίαν συλλαβὴν τὴν ᾱ, τροχαϊκὸν τὸ μέτρον ἀποτελέσεις τρίμετρον καταληκτικόν· οἷον τὸ, μὴ φθαρεῖσα καὶ τεκοῦσα παρθένος. καὶ εἰ κατὰ τὴν ἀρχὴν τοῦ ἰαμβικοῦ

τριμέτρου καθαροῦ ὄντος μίαν μακρὰν προσθήσει τὶς συλλαβὴν, τροχαϊκὸν πάλιν ἀποτελέσει αὐτό. ὁμοίως δὲ καὶ τῷ τροχαϊκῷ καθαρῷ μίαν προσθεὶς συλλαβὴν κατ᾽ ἀρχὰς ἢ ἀφαιρήσας ἰαμβικὸν ἐκ τροχαϊκοῦ τοῦτο ποιήσει· ὥσπερ καὶ τὸ, βασίλεια καλλίπαις, καὶ ἑξῆς. ὥστε ἀκόλουθόν ἐστι μετὰ τὸ περὶ ἰαμβικοῦ διαλαβεῖν ἐπὶ τὸ ἀντιπαθὲς αὐτῷ ἰέναι, δηλαδὴ τὸ τροχαϊκόν. καὶ ἄλλως γὰρ τἀναντία τῇ τῶν ἐναντίων διδασκαλίᾳ μᾶλλον ἀκριβέστερον παριστῶνται· ὡς τὸ λευκὸν τῇ τοῦ μέλανος, καὶ ἀνάπαλιν. ὠνόμασται δὲ οὕτω τροχαῖος ὁ ἐκ μακρᾶς καὶ βραχείας συλλαβῆς συγκείμενος ποὺς, ὅτι ταχεῖαν καὶ οἷον διατρέχουσαν ἐν τῇ κατασκευῇ τὴν ῥυθμοποιΐαν ἔχει, διὰ τὸ ἐπιτρέχειν οἱονεὶ τῇ μακρᾷ ἀεὶ τὴν βραχεῖαν. ὁ αὐτὸς δ᾽ οὗτος καὶ χορεῖος καλεῖται, ὅτι τὰ ἐν τοῖς χοροῖς μέλη τῶν παλαιῶν δραματοποιῶν ἐκ τροχαϊκῶν ὡς ταπολλὰ μέτρων συντέθειται. δέχεται δὲ τὸ τροχαϊκὸν μέτρον ἐν μὲν ταῖς ἀρτίαις χώραις, τουτέστι δευτέρᾳ, τετάρτῃ, ἕκτῃ καὶ ὀγδόῃ, ὅτε ἀκατάληκτον τετράμετρον εὑρίσκεται, τοὺς πέντε τούτους πόδας, – ᴗ τροχαῖον, ᴗ ᴗ ᴗ τρίβραχυν, τὸν καὶ χορεῖον, – – σπονδεῖον, – ᴗ ᴗ δάκτυλον, ᴗ ᴗ – ἀνάπαιστον· οἳ διὰ τί τε οὕτως καλοῦνται, καὶ ἐκ πόσων καὶ ποίων συγκεῖνται, εἴρηται. ἐν μὲν οὖν ταῖς ἀρτίαις τοὺς πόδας δέχεται τούτους. ἐν δὲ ταῖς περιτταῖς, – ᴗ τροχαῖον, ᴗ ᴗ ᴗ τρίβραχυν, ἤτοι χορεῖον, ᴗ – ἴαμβον, σπανιώτερον δὲ καὶ δάκτυλον. καὶ σκόπει μοι, ὅπως καὶ κατὰ τοῦτο ἀντιπαθές ἐστι τὸ τροχαϊκὸν μέτρον τῷ ἰαμβικῷ. ἐκεῖ μὲν γὰρ ἐν τῇ α΄ καὶ γ΄ καὶ ε΄ χώρᾳ, καὶ ἁπλῶς ἐν ταῖς περιτταῖς, ἔφαμεν τίθεσθαι τὸν σπονδεῖον, καὶ τὸν δάκτυλον, καὶ τὸν

ἀνέπαιστον· ἐνταῦθα δὲ ἐν τῷ τροχαϊκῷ μέτρῳ τοὐναντίον ἅπαν ἐν ταῖς ἀρτίαις χώραις ὅλως ἐλέγομεν, διὰ τὸ ἀπὸ βραχείας ἄρχεσθαι. καὶ πᾶς τούτῳ κοινωνεῖν τῷ ἰάμβῳ, οὕτως ἐνταῦθα τὸν δάκτυλον ἐν ταῖς περιτταῖς, ὡς ἀπὸ μακρᾶς ἀρχόμενον καὶ τέως κατὰ τοῦτο οἰκειούμενον τῷ τροχαίῳ. πλὴν ὥσπερ ἐκεῖ τοὺς ἄλλους μὲν πόδας παρὰ τοῖς νεωτέροις ἔφαμεν παριέσθαι, μόνον δὲ τὸν ἴαμβον ἐν ταῖς ἀρτίαις, καὶ τὸν σπονδεῖον, ἢ τὸν ἴαμβον ἐν ταῖς περιτταῖς χώραις παραλαμβάνεσθαι, ἐν δὲ τῇ τελευταίᾳ καὶ τὸν πυῤῥίχιον, οὕτω κἀνταῦθα ἐν μὲν ταῖς περιτταῖς τὸν τροχαῖον μόνον, ἐν δὲ ταῖς ἀρτίαις τὸν τροχαῖον ἢ τὸν σπονδεῖον δεχόμεθα. τοιαῦτα καὶ τὰ προκείμενα μέτρα. καθόλου γὰρ τὸ ἐν ἑκάστῳ μέτρῳ τοῖς ὁμωνύμοις πλεονάζον ποσὶν ἐπαινετόν· οἷον ἐν ἰαμβικῷ μέτρῳ, ἰάμβοις· ἐν δὲ τῷ τροχαϊκῷ, τροχαίοις· καὶ ἐν δακτυλικῷ δακτύλοις· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. τὸ δὲ καὶ διόλου τοῖς ὁμωνύμοις μόνοις χρῆσθαι πολλῷ ἀξιεπαινετώτερον· καθαρὸν γὰρ τότε τὸ μέτρον λέγεται. εἰσὶ δὲ τὰ προκείμενα μέτρα τροχαϊκὰ τετράμετρα καταληκτικά. βαίνονται γὰρ καὶ ταῦτα κατὰ διποδίαν, διὰ τὸ ἐκ δισυλλάβων ὡς τὰ πολλὰ συγκεῖσθαι ποδῶν. ὥσπερ δὲ ἐν τοῖς ἰαμβικοῖς ἐπισημότατον καὶ περιφανέστατον ἐστὶ τὸ ἀκατάληκτον τρίμετρον, οὕτως ἐν τοῖς τροχαϊκοῖς τὸ καταληκτικὸν τετράμετρον. κέχρηται γὰρ αὐτῷ καὶ Εὐριπίδης ἔν τε πολλοῖς τῶν αὐτοῦ δραμάτων, καὶ ἔτι καθαρώτερον ἐν Ὀρέστῃ. ἐπιτηδεύει τοῦτο πολλαχοῦ καὶ Σοφοκλῆς, καὶ Ἀριστοφάνης, καὶ διάφοροι ἕτεροι. διὰ γοῦν τοῦτο ἐπισημότατον εἶναι, καὶ νῦν ἡμῖν χάριν παραδείγματος εἴληπται. εἰσὶ δὲ καὶ ἐν

τούτῳ τῷ μέτρῳ μονόμετρά τε καὶ δίμετρα καὶ τρίμετρα καὶ τετράμετρα, καταληκτικὰ καὶ ἀκατάληκτα, βραχυκατάληκτα, καὶ ὑπερκατάληκτα. μονόμετρον μὲν οὖν βραχυκατάληκτον τροχαϊκὸν, ὡς τοῦτο· ὕψος. καταληκτικὸν δέ· καλλίπαι. ἀκατάληκτον μονόμετρον· βασίλεια. ὑπερκατάληκτον· τληπόνων καινῶν. καὶ μονόμετρα μὲν ταῦτα. δίμετρα δέ· βραχυκατάληκτον μὲν τὸ, καλλίπαι θεοῖο. τοῦτο καὶ ἰθυφαλλικὸν ὀνομάζεται, διὰ τὸ ἐπὶ ἴαμβον [1]). οὗ χάριν καὶ ὁ ἰθύφαλλος παραλαμβάνεται. ἔστι δὲ ἐκ τριῶν τροχαίων. καταληκτικὸν δέ· ἀμερίων τληπόνων. καὶ τοῦτο ἐπισημότατόν ἐστι καὶ Εὐριπίδιον λέγεται. ἀκατάληκτον δέ· ἐξ ἰλύος αἰθέριον. δίμετρον δὲ ὑπερκατάληκτον μέν· καλλίπαι θεοῖο μοι νύμφα. τρίμετρα δὲ πάλιν. βραχυκατάληκτα δέ· ἃ χώροις εὐαγέεσσιν ἀγγέλων. τοῦτο δὲ τὸ καταληκτικὸν τρίμετρον, ὃ δὴ καὶ Ἀρχιλόχειον λέγεται, ὡς Ἀρχιλόχου τοῦ ποιητοῦ κατακόρως αὐτῷ χρησαμένου, ἀκέφαλος καλεῖται ἴαμβος, ὅτι, ἐὰν κατὰ τὴν ἀρχὴν μία συλλαβὴ αὐτῷ προστεθῇ, ἴαμβος γενήσεται τρίμετρος ἀκατάληκτος. καὶ καταληκτικὸν μὲν τροχαϊκὸν τὸ ῥηθὲν, ἀκατάληκτον δὲ τρίμετρον· ἐξ ἰλύος αἰθέριον ἀμβιβάσας. ὑπερκατάληκτον δέ· βασίλεια καλλίπαι θεοῖο νύμφα μοι. καὶ τρίμετρα μὲν ταῦτα. τετράμετρα δὲ, βραχυκατάληκτον μέν· ἀμερίων τληπόνων καινῶς ἐνήλασάς με. τετράμετρα δὲ καταληκτικὰ τροχαϊκά. καὶ ἡμεῖς μὲν μέχρι τούτων ἔστημεν. εἰσὶ δὲ, ὡς ἔφαμεν, καὶ ἀκατάληκτα τετράμετρα τὰ συλλαβῇ μιᾷ τῶν προκειμένων περιττεύοντα. ταῦτα δὲ καὶ Ἀνακρέων ἐπιτηδεύει,

---

1) sic.

ἐπίσημα καὶ αὐτὰ ὄντα. εἰσὶ δὲ καὶ ὑπερκατάληκτα τετράμετρα, ἃ δυσὶ συλλαβαῖς πλεονάζει τῶν ἐκκειμένων ἐπῶν. οὐ μὴν ἀλλὰ καὶ τῷ καταληκτικῷ πενταμέτρῳ, καίπερ ὑπερμέτρῳ ὄντι, πολλοὶ χρώμενοι εὕρηνται· καὶ Καλλίμαχος μᾶλλον. διὸ καὶ Καλλιμάχιον λέγεται. ἔστι δὲ τοιοῦτον, οἷον τό· ἃ χοροῖς εὐαγέεσθιν ἀγγέλων οὐρανίων ἐνήλασας. ἐπισημότατον ἐστὶ παρὰ ταῦτα καὶ τὸ χωλὸν τετράμετρον καταληκτικόν· ὃ χωλὸν καλεῖται, διὰ τὸ τὴν ἐνδόμην[1]) χώραν περιττὴν οὖσαν καὶ δεχομένην τροχαῖον, ἢ σπονδεῖον, ὡς ἔφαμεν, ἀπαρτίζειν σπονδείῳ, ὥσπερ καὶ τὸ χωλὸν ἰαμβικὸν, διὰ τὸ σπονδεῖον ἢ τροχαῖον ἐν τῇ τελευταίᾳ δέχεσθαι βάσει. τούτου τοῦ τετραμέτρου καταληκτικοῦ χωλιαμβικοῦ παράδειγμα ὁ προκείμενος χωλὸς τροχαῖος, ὁ, ἐξ ἰλύος αἰθέριον ἀμβιβάσας εἰς ὕψος.

Περὶ δακτυλικοῦ.

Διαλαβόντες περὶ τῶν ἐκ δισυλλάβων ποδῶν ἀποτελουμένων μέτρων, τοῦ ἰαμβικοῦ δηλαδὴ καὶ τοῦ τροχαϊκοῦ, ἐπὶ τὰ τελεώτερα χωροῦντες ἐφεξῆς, καὶ περὶ τῶν ἐκ τρισυλλάβων ποδῶν συγκειμένων μέτρων διαληψόμεθα. εἰσὶ δὲ καὶ ταῦτα δύο τὰ καθολικά· τό τε δακτυλικὸν, τὸ καὶ ἡρῷον καλούμενον, καὶ τὸ ἀναπαιστικόν. προτάττεται μέντοι τοῦ ἀναπαιστικοῦ τὸ δακτυλικὸν, διὰ τὸ ἐνδοξότερόν τε εἶναι, καὶ γνωριμώτερον, καὶ προσέτι τῶν μέτρων τῶν λοιπῶν ἀρχαιότερον. πρότερον γὰρ παρὰ τοῦ πυθικοῦ τρίποδος εὕρηται. καλεῖται δὲ, ὡς ἔφαμεν, καὶ ἡρωϊκὸν,

---

1) ſic.

ἢ διὰ τὸ εἶναι τῶν λοιπῶν, ὡς εἴπομεν, προγενέστερον, καθὸ καὶ ἥρωας τοὺς παλαιοὺς ἐκείνους ἀνθρώπους λέγομεν, ἢ παρ᾽ ὅσον τὰ τῶν ἡρώων ἔργα διὰ τοῦ τοιούτου μέτρου Ὅμηρος καὶ οἱ λοιποὶ τῶν ποιητῶν διεξῄεσαν. ὀνομάζεται δὲ καὶ πυθικὸν, καὶ ἔπος, καὶ ἑξάμετρον· ὡς εἶναι τὰς πάσας αὐτοῦ ὀνομασίας ε. δέχεται δὲ το δακτυλικὸν μέτρον κατὰ πάσας τὰς χώρας ἀδιαφόρως τὸν ὁμώνυμον αὐτοῦ δάκτυλον καὶ τὸν σπονδεῖον· ἐν δὲ τῇ τελευταίᾳ, ὅτι καταληκτικὸν ἐστὶν εἰς δισύλλαβον, τροχαῖον ἢ σπονδεῖον. βαίνεται δὲ, τουτέστι ποδίζεται καὶ μετρεῖται, τὸ δακτυλικὸν μέτρον κατὰ μονοποδίαν, διότι ἐκ τρισυλλάβων μάλιστα καὶ κυριωτέρως ἥρμοσται ποδῶν. ἔφαμεν δὲ, ὡς μόνα τὰ ἐκ δισυλλάβων ποδῶν συγκείμενα μέτρα κατὰ διποδίαν μετρεῖται. αὔξεται δὲ μέχρι ποδῶν ἕξ. καὶ ἔστιν ἐν αὐτῷ περιφανέστατον καὶ ἐπισημότατον τὸ ἑξάμετρον δακτυλικὸν, καταληκτικὸν εἰς δισύλλαβον, οἷα εἰσὶ τά τε Ὁμήρου καὶ Ἡσιόδου, καὶ τῶν λοιπῶν ποιητῶν, καὶ δὴ καὶ τὰ προκείμενα μέτρα. ὑφίστησι δὲ καὶ τὸ δακτυλικὸν μέτρον κατὰ ὑφαίρεσιν μόνα δίμετρα, καὶ τρίμετρα, καὶ τετράμετρα, καὶ πεντάμετρα, καὶ ἑξάμετρα, καταληκτικὰ εἰς συλλαβὴν καὶ εἰς δισύλλαβον, καὶ ἀκατάληκτα. ὑπερκατάληκτα γὰρ ἢ βραχυκατάληκτα μέτρα οὐκ ἔχει ὅλως τὸ παρὸν μέτρον, καθὰ τὸ ἰαμβικὸν καὶ τροχαϊκόν· ἐπεὶ μηδὲ ἐγχωρεῖ ὅλως. τὸ γὰρ δίμετρον φέρε εἰπεῖν ὑπερκατάληκτον, οἷον τὸ, ἃ τὸν παντογόνου, ἐπειδὴ κατὰ μονοποδίαν μετρεῖται τὸ μέτρον, τίνος χάριν μὴ τρίμετρον καταληκτικὸν εἰς δισύλλαβον ἐροῦμεν αὐτό; καὶ ἐπὶ τῶν ἑξῆς ὡσαύτως. οὐ μὴν ἀλλ᾽ οὐδὲ μονόμετρα ὅλως ἔχει τὸ προκειμενον μέτρον· συνέμπτωσις

γὰρ ἂν ἐγίνετο τῷ δακτυλικῷ πρὸς τὰ ἰαμβικὰ καὶ τροχαϊκά. οἷον τὸ μονόμετρον δακτυλικὸν, φέρε εἰπεῖν, εἰ μὲν σπονδεῖος ἦν, ἐδόκει καὶ ἰαμβικόν· εἰ δὲ δάκτυλος, ὠνομάζετ' ἂν καὶ τροχαϊκὸν καταληκτικόν. ὥστε μόναι αἱ τῶν ῥηθέντων καταλήξεις εἰσί. καὶ δὴ δίμετρον μὲν καταληκτικὸν εἰς δισύλλαβον, ὡς τοῦτο· παμμεδέοντος. καταληκτικὸν γὰρ εἰς συλλαβὴν δίμετρον οὐκ ἐγχωρεῖ γενέσθαι διὰ τὴν αἰτίαν, ἣν λέγομεν, ἵνα μὴ τῷ τροχαϊκῷ καὶ ἰαμβικῷ τὸ δακτυλικὸν συνέμπεσε [1]). ἀκατάληκτον δὲ, ὡς τοῦτο· ἐκ καθαρῶν τέκες. τρίμετρα δέ· καταληκτικὰ δέ. καταληκτικὰ μὲν εἰς συλλαβήν· ἃ τὸν παντογόνου. τοῦτο δὲ ἐπισημότατον καὶ πενθημιμερὲς ἀρχιλόχειον λέγεται, ὅτι ἐκ δύο ἥμισυ σύγκειται ποδῶν· αἱ τοῖς πέντε εἰσὶν ἥμισυ. καταληκτικὸν δὲ εἰς δισύλλαβον, τὸ, υἱέα παμμεδέοντα. ἀκατάληκτον δὲ τοῦτο· ἐκ καθαρῶν λαγόνων τέκες. τετράμετρον δέ· καταληκτικὸν μὲν εἰς συλλαβὴν, υἱέα παμμεδέοντα λόγον. καὶ τοῦτο ἐπισημότατόν ἐστιν ἑφθημιμερὲς καλούμενον, ὅτι ἐκ τριῶν ἥμισυ ποδῶν σύγκειται· αἳ εἰσὶν ἥμισυ τοῦ ἑπτά. ὡς καὶ τὸ πενθημιμερές· παρόσον ἐκ δύο ἥμισυ. τοῦτο δὲ τὸ ἑφθημιμερὲς ἀλκμανικὸν καλεῖται, ὅτι πολλαχοῦ κατακόρως Ἀλκμὰν τούτῳ κέχρηται. τετράμετρον οὖν καταληκτικὸν εἰς συλλαβὴν ἐστὶ τὸ ῥηθὲν ἑφθημιμερές. εἰς δὲ δισύλλαβον καταληκτικὸν τετράμετρον, τοῦτο· ἐκ καθαρῶν λαγόνων τέκες ἁγνά. καὶ τοῦτο ἐπισημότατόν ἐστι καὶ ἀρχιλόχειον ὀνομάζεται. ἀκατάληκτον δὲ τετράμετρον· υἱέα παμμεδέοντα λόγον τέκες. ἔνδοξον ἐστὶ καὶ τοῦτο Ἀρχιλόχῳ καὶ Ἀλκμᾶνι

1) sic.

πολλαχοῦ κεχρημένον. τετράμετρα μὲν οὖν ταῦτα. πεντάμετρα δέ· καταληκτικὸν μὲν πάλιν εἰς συλλαβὴν, ὡς τό· ἃ τὸ [1]) παντογόνου αἰωνοτόκου. εἰς δὲ δισύλλαβον· υἱέα παμμεδέοντα λόγον κόσμοιο. τοῦτο δὲ καὶ σιμίειον καλεῖται, ὡς τοῦ Ῥοδίου Σιμίου πολλαχῶς αὐτῷ χρησαμένου. ἀκατάληκτον πεντάμετρον, ὡς τόδε· ἐκ καθαρῶν λαγόνων τέκες ἁγνὰ παρθένε. ἑξάμετρον μὲν, εἰς συλλαβὴν δὲ καταλῆγον, τὸ, ἃ τὸν παντογόνου αἰωνοτόκοιο λόγον. ἑξάμετρα δὲ καταληκτικὰ εἰς δισύλλαβον, τὰ προκείμενα τρία ἔπη. ἀκατάληκτον δὲ ἑξάμετρον, ὡς τό· υἱέα παμμεδέοντα λόγον κόσμου γενετῆρα γε. καὶ παρ' Ὁμήρῳ τὸ, Κάστηρά [2]) θ' ἱππόδαμον, καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα. καὶ περαίτερον τούτων οὐχ εὕρηταί τις προβαίνων. ἰστέον δὲ, ὅτι ὡς ἐπὶ τοῦ ἰαμβικοῦ καὶ τοῦ τροχαϊκοῦ, οὕτως καὶ ἐπὶ τοῦ δακτυλικοῦ καὶ ἁπλῶς ἐπὶ πάντων διμέτρων, ἤτοι μέτρων καταληκτικῶν, ἢ ἀκαταλήκτων καὶ τῶν λοιπῶν, παντὸς μέτρου ἡ τελευταία συλλαβὴ ἀδιάφορός ἐστι, μακρὰ ἢ βραχεῖα λαμβανομένη ἀπεριέργως. διὰ τοῦτο καὶ τὸ δακτυλικὸν ἑξάμετρον, εἰ μὲν ἀκατάληκτόν ἐστι, δάκτυλον ἢ ἀμφίμακρον τὸν τελευταῖον δέχεται πόδα· ὡς τὸ, Κύκλωψ, τῆ πίε οἶνον, ἐπεὶ φάγες ἀνδρομέα κρέα. τοῦ γὰρ κρέα τὸ ᾱ μακρὸν ἐκ κράσεως. εἰ δὲ καταληκτικὸν, εἰ μὲν εἰς δισύλλαβον, πάλιν ἢ σπονδεῖον, ἢ τροχαῖον, διὰ τὸ ἀδιάφορον ἔχειν τὴν ἐπὶ τέλους, ὡς τό· ἠῶς δ' ἐπὶ γαῖαν ἀπ' οὐρανοῦ ἀστερόεντος· ἀὴρ πυρφόρος τέταται μακάρων ἐπὶ ἔργοις. τὸ μὲν γὰρ πρότερον ἔπος εἰς τροχαῖον, τὸ

1) fic. 2) fic.

δὲ δεύτερον εἰς σπονδεῖον ἀπαρτίζει. εἰ δὲ καταληκτικόν ἐστιν εἰς συλλαβὴν, ἡ συλλαβὴ πάλιν αὕτη μακρά ἐστιν ἢ βραχεῖα διὰ τὸ ἀδιάφορον. καὶ περὶ μὲν τοῦ κοινοῦ δακτύλου τοσαῦτα.

Περὶ αἰολικοῦ.

Τὸ δὲ καθόλου δακτυλικὸν διαιρεῖται εἰς τρία, εἴς τε τὸ κοινὸν δακτυλικὸν, περὶ οὗ ἐν τοῖς ἀνωτέρω διελαμβάνομεν, καὶ εἰς τὸ αἰολικὸν, καὶ τὸ καλούμενον λογαοιδικόν. αἰολικὸν μὲν οὖν ἐστιν, ὅπερ κατὰ τὴν ἀρχὴν ἀντὶ τοῦ ᾱ ποδὸς δέχεται ἕνα τῶν δισυλλάβων, οἷον σπονδεῖον, ἢ τροχαῖον, ἢ ἴαμβον, ἢ πυῤῥίχιον, τοὺς δὲ ἐφεξῆς πάντας ἀδιαφόρως σπονδείους ἢ δακτύλους, ὡς καὶ τὸ κοινὸν δακτυλικὸν, καὶ τὴν ἐπὶ τέλει κατακλεῖδα ὁμοίως τροχαῖον, ἢ σπονδεῖον, ἢ τροχαῖον. αἰολικὸν δὲ ὠνομάσθη διὰ τὸ τοὺς Αἰολεῖς αὐτὸ κατακόρως χρήσασθαι. ὁ δὲ πῶς ἐπὶ τῶν τριῶν στίχων τῶν ἐκτεθέντων ἐπιτετηδευμένως ὁ μὲν ᾱ τροχαῖον ἔχει τὸν ᾱ πόδα, ὁ δὲ δεύτερος σπονδεῖον ἢ ἴαμβον, ὁ δὲ τρίτος πυῤῥίχιον, ἵνα τῆς κατὰ τοὺς τέσσαρας δισυλλάβους τροπῆς τοῦ αἰολικοῦ ἐντεῦθεν ἔχωμεν λαμβάνειν τὰ παραδείγματα· εἰσὶ δὲ καὶ τούτου τοῦ μέτρου ἀποθέσεις, τουτέστι καταλήξεις, τοσαῦται, ὅσαι καὶ τοῦ ἁπλῶς δακτυλικοῦ, μόναι τρεῖς. μονόμετρα μὲν οὖν οὐκ εἰσὶ, δι' ἃς ἔφαμεν αἰτίας ἐν τῷ περὶ δακτυλικοῦ. δίμετρα δὲ πάλιν, καταληκτικὰ μὲν εἰς συλλαβὴν, οὐδαμῶς εἰσὶν ἐνταῦθα, ὡς οὐδ' ἐκεῖ· ἐμπεσεῖται γὰρ πάλιν εἰς τὸ καὶ ἰαμβικὰ δοκεῖν ἢ τροχαϊκά. δίμετρον δὲ αἰολικὸν καταληκτικὸν εἰς δισύλλαβον, τὸ, ἐκ σέθεν μὲν, ἔχει γὰρ ἕνα τε πόδα δισύλλαβον καὶ δύο συλλα-

βάς, οὐχ ὁλόκληρον πόδα τρισύλλαβον. δίμετρον δὲ ἀκατάληκτον, τὸ, μέγαν ἄμβροτον. τρίμετρον δὲ, καταληκτικὸν μὲν εἰς συλλαβὴν, τὸ, ἐκ σέθεν μὲν ἄνα. καταληκτικὸν δὲ εἰς δισύλλαβον, τὸ, ἴσον μοί τε φανέντα. ἀκατάληκτον δὲ τρίμετρον, τὸ, ἴσον μοί τε φανέντα γε. τῶν δὲ τετραμέτρων καταληκτικὸν μὲν εἰς συλλαβὴν ἐστὶ, τὸ, ὅδ᾽ ἐὴν μείναντα θεόν. καταληκτικὸν δὲ εἰς δισύλλαβον, ὃ καὶ Ἡφαιστίων ἐπισημειοῦται, διὰ τὸ πολλαχοῦ αὐτοῦ κεχρῆσθαι τοὺς παλαιοὺς, τὸ, ἐκ σέθεν μὲν ἄνασσα φανέντα. τετράμετρον δὲ ἀκατάληκτον, τὸ, ἴσον μοί τε φανέντα ἁμαρτάδος. καὶ τοῦτο δὲ ἐπισημότατόν ἐστιν. πεντάμετρα δὲ εἰσὶ, κατάληκτον μὲν εἰς συλλαβὴν, τὸ, ἐκ σέθεν μὲν ἄνασσα δανεισάμενος. καταληκτικὸν δὲ εἰς δισύλλαβον, τὸ, ἴσον μοί τε φανέντα ἁμαρτάδος ἐκτός. καὶ ταῦτα δὲ ἐπίσημα τοῖς παλαιοῖς εἰσίν. ἀκατάληκτον δὲ πεντάμετρον καὶ σαπφικὸν τεσσαρεςκαιδέκατον ὀνομάζεται διὰ τὸ τὴν Σαπφὼ ὁλόκληρα ᾄσματα γράψαι τούτῳ τῷ μέτρῳ. καὶ ἑξάμετρα μὲν εἰσὶ, καταληκτικὰ μὲν εἰς συλλαβὴν, ὡς τὸ, ἴσον μοί τε φανέντα ἁμαρτάδος ἔκτοθι γάρ. εἰς δὲ δισύλλαβον καταληκτικὸν, ἕκαστος τῶν ἐκτεθέντων τριῶν στίχων· ἃ καὶ διὰ τὸ ἀξιοζηλώτατα εἶναι, τοιαῦθ᾽ ἡμῖν παρελήφθησαν εἰς παράδειγμα. τὸ περαίτερον δὲ τούτων προβαίνειν, οὔτε τοὺς παλαιοὺς εὕρομεν ποιουμένους, καὶ ἡμῖν, οἶμαι, περιττὸν, ἱκανῶς ἤδη ῥηθέντων. τοσαῦτα καὶ περὶ τοῦ αἰολικοῦ δακτυλικοῦ.

Περὶ τοῦ λογοαοιδικοῦ.

Τὸ δὲ λοιπὸν εἶδος τοῦ δακτυλικοῦ, τὸ καλούμενον λογοαοιδικὸν δακτυλικὸν, ἀντιπαθὲς καὶ οἷον

ὑπεναντίον ἐστὶ τῷ αἰολικῷ. τὸ μὲν γὰρ καταρχὰς ἕνα τῶν δισυλλάβων ἐδέχετο· τοῦτο δὲ κατὰ τὸ τέλος, πλὴν οὐκ ἀδιαφόρως τὸν τυχόντα, ὡς ἐκεῖνο, ἀλλ' ὡρισμένως τὴν διποδίαν τροχαϊκήν· ἐν δὲ τῇ ἀρχῇ δακτύλους δύο, ἢ τρεῖς, ἢ δ'. ὀνομάζεται δὲ τὸ τοιοῦτον μέτρον λογαοιδικὸν, ὅτι ἐκ δακτύλων σύγκειται καὶ τροχαίων. ἔστι δὲ ὁ μὲν δάκτυλος ἀοιδαῖς καὶ ποιηταῖς προσφορώτατος, ὁ δὲ τροχαῖος λογογράφοις. διὰ τοῦτο καὶ Ἑρμογένης ἐν ταῖς ἰδίαις[1]) περὶ καθαρότητος διδάσκων λέγει καθαρὰν εἶναι τὴν λογοειδῆ, λέγων τὴν ἐξ ἰάμβων καὶ τροχαίων συντεθειμένην. οἱ γὰρ πεζοὶ λόγοι ἐκ τοιούτων ὡς τὰ πολλὰ ποδῶν αὐτομάτως σύγκειται[2]). ἐστὶ μὲν ἐπισημότατα ἐν τούτῳ τῷ μέτρῳ, ὡς καὶ Ἡφαιστίων φησὶ, τά τε τρίμετρα ἀκατάληκτα, τὰ πρὸς δυσὶ ποσὶ δακτυλικοῖς μίαν ἔχοντα τροχαϊκὴν διποδίαν, ἃ καὶ ἀλκαϊκὰ καλεῖται, ὡς τοῦ Ἀλκαίου κατακόρως αὐτοῖς χρησαμένου, οἷον ἐστὶ τὸ, καὶ θεὸν ἀμεροίοις βροτοῖσι· καὶ πρόσετι τὰ τετράμετρα ἀκατάληκτα, τὰ πρὸς τρισὶ ποσὶ δακτυλικοῖς μίαν ἔχοντα τροχαϊκὴν διποδίαν, ἃ καὶ πραξίλλεια λέγεται, ἅτε τῆς ποιητρίας Πραξίλλης ἐν πολλῷ χρησαμένης τῷ τοιούτῳ μέτρῳ, οἷον ἐστὶ τὸ, ἀνίδεον θεότητα λόγοισιν ἄμμιν. ἡμεῖς μέντοι, διὰ τὸ μακρότερον εἶναι τὸ πεντάμετρον, ἄλλως τε καὶ περιέχειν καὶ τὰ τρίμετρα καὶ τετράμετρα, ἐπιτηδευσάμεθά τε αὐτὸ, καὶ εἰς παράδειγμα προτεθείκαμεν. εἰσὶ γὰρ τὰ προκείμενα τρία ἔπη λογαοιδικὰ πεντάμετρα ἀκατάληκτα, ἐκ τεσσάρων δακτύλων ἢ σπονδείων καὶ μιᾶς τρο-

1) sic. 2) sic.

χαϊκῆς διποδίας. ταῦτα ἐπειδὴ μὴ κατὰ μονοποδίαν ἐπὶ τῷ τέλει μετρεῖται, ὡς ἔφαμεν, διὰ τὸ δέχεσθαι τοὺς τροχαίους δισυλλάβους ὄντας, ἀπόθεσιν μὲν ἤτοι κατάληξιν καταληκτικὴν εἰς δισύλλαβον οὐχ ἕξει, ὡς οὐδὲ τὰ τροχαϊκὰ, ἢ ἰαμβικά· ἕξει δὲ ἀκατάληκτον μόνην καὶ ὑπερκατάληκτον. οὐ μὲν ἀλλ' οὐδὲ μονόμετρον ὅλως ἕξει διὰ τὰς αἰτίας, ἃς εἴπομεν ἐν τῷ περὶ δακτυλικοῦ· οὐδὲ δίμετρον βραχυκατάληκτον, ἢ καταληκτικὸν, ἵνα μὴ πάλιν τῷ δακτύλῳ συνεμπέσοι. ἀκατάληκτον οὖν δίμετρόν ἐστι τόδε, ἀνίδεον φανέντα· ὑπερκατάληκτον δὲ τὸ τούτου μιᾷ συλλαβῇ πλεονάζον, ὡς τὸ, ἀνίδεον φανέντα γε. τρίμετρα δὲ, βραχυκατάληκτον μὲν οὐκ ἔσται, ἵνα μὴ πάλιν τῷ δακτύλῳ συνεμπέσοι· οὐδὲ καταληκτικὸν δι' αὐτὸ τοῦτο· μόνον δὲ ἀκατάληκτον καὶ ὑπερκατάληκτον. καὶ ἀκατάληκτον μὲν τοῦτο, καὶ θεὸν ἀμερίοις βροτοῖσι. τοῦτο δὲ καὶ ἀλκαϊκὸν, ὡς ἔφαμεν, λέγεται. ὑπερκατάληκτον δὲ τὸ τούτου μιᾷ συλλαβῇ πλεονάζον, ὡς τὸ, καὶ θεὸν ἀμερίοισι βροτοῖσί γε. καὶ τετράμετρα καὶ πεντάμετρα ὡσαύτως μόνα ἀκατάληκτα καὶ ὑπερκατάληκτα ἔσονται διὰ τὰς αἰτίας, ἃς εἴπομεν πολλάκις. καὶ τετράμετρον μὲν ἀκατάληκτον, ὡς ἔφαμεν, ὃ καὶ πραξίλλειον ὀνομάζεται, τὸ, ἀνίδεον θεότητα λόγοισι θείοις. ὑπερκατάληκτον δὲ τὸ τούτου συλλαβῇ μιᾷ πλεονεκτοῦν. πεντάμετρα δὲ ἀκατάληκτα τὰ προκείμενα τρία ἔπη. ὑπερκατάληκτα δὲ τὰ ἐφ' ἑκάστῳ τούτων καὶ μίαν συλλαβὴν ἔχοντα ἐπέκεινα. καὶ περὶ τοῦ λογοαοιδικοῦ ταῦτα.

Περὶ ἀναπαιστικοῦ.

Μετὰ τὸ περὶ τοῦ δακτυλικοῦ, τοῦ τε κυρίου καὶ τῶν εἰδῶν τούτου, διαλαβεῖν εὔλογον ἂν εἴη καὶ περὶ

τοῦ ἀναπαιστικοῦ μέτρου διδάξαι. ὡς γὰρ ὁ τροχαῖος καὶ τὸ ἐκ τούτου μέτρον ἀντιπαθὲς ἦν τῷ ἰάμβῳ ἐν πᾶσιν, ὡς ἔφαμεν, οὕτω καὶ ὁ ἀνάπαιστος, ὃν τινὲς, ὡς εἴπομεν, καὶ ἀντιδάκτυλον καλοῦσιν, τῷ δακτύλῳ. πάλιν γὰρ κἀνταῦθα μιᾶς συλλαβῆς προστεθείσης, ἢ ἀφαιρεθείσης τοῦ δακτυλικοῦ στίχου, γίνεται ἀναπαιστικὸς, καὶ ἔμπαλιν, οἷον, καὶ σὺ μάκαιρα. τὸ τοίνυν ἀναπαιστικὸν μέτρον καθολικὸν καὶ γενικόν ἐστι, καθὰ καὶ τὸ δακτυλικόν. καὶ τὸ μὲν αὐτοῦ ἐστὶ τὸ καθαρὸν ἀναπαιστικὸν, ὅπερ κατὰ πᾶσαν χώραν δέχεται ◡ ◡ – ἀνάπαιστον, καὶ – – σπονδεῖον, σπανίως δὲ καὶ ◡ ◡ ◡ ◡ προκελευσματικὸν, ὃς ἐστὶν ἐκ τεσσάρων βραχέων, καὶ – ◡ ◡ δάκτυλον. τὸ δὲ αἰολικὸν ἀναπαιστικὸν, ὅπερ ἰαμβικὸν ἕνα ἐν τῇ ἀρχῇ, τοὺς δὲ λοιποὺς ὁμοίους τῷ κυρίῳ ἀναπαιστικῷ. τὸ δ' ἄλλο λογοαοιδικὸν ἐστὶν ἀναπαιστικὸν, ὅπερ ἐπὶ τέλει οὐ τροχαϊκὴν διποδίαν, ἀλλ' ἴαμβον ἕνα δέχεται, καὶ μίαν συλλαβὴν μακρὰν ὡς ἐπιπολὺ, ἢ βραχεῖαν, ὡς εἶναι τὸν τελευταῖον πόδα ἢ ◡ – ◡ ἀμφίβραχυν, ἐὰν βραχεῖα ἐστὶν ἡ τελευταία συλλαβὴ, ἢ ◡ – – βακχεῖον, ἐὰν μακρά. ὁ δὲ καὶ ὡς ἐπὶ τὸ πλεῖστον ἔφαμεν γίνεται. ἔστι γὰρ ὁ μὲν ἀμφίβραχυς ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας, οἷον ἔγωγε· ὁ δὲ βακχεῖος ἐκ βραχείας καὶ δύο μακρῶν. ὡς δὲ ὁ δάκτυλος οἰκειοῦται τῷ τροχαίῳ ὡς ἀπὸ μακρᾶς ἀρχομένῳ καὶ λήγοντι εἰς βραχεῖαν, καθὰ καὶ αὐτὸς ὁ δάκτυλος, οὕτω καὶ ὁ ἀνάπαιστος οἰκεῖος ἐστὶ τῷ ἰάμβῳ, ὡς ἀπὸ βραχείας ἀρχομένῳ ὁμοίως αὐτῷ. διὰ τοῦτο τὸ μὲν δακτυλικὸν λογοαοιδικὸν ἐπὶ τέλει τροχαϊκὴν ἐδέχετο διποδίαν, τὸ δὲ ἀναπαιστικὸν λογαοιδικὸν ἴαμβον. ἡμεῖς δὲ, ὡς ἐκ

τῶν ἤδη ῥηθέντων ἐν τοῖς περὶ δακτυλικοῦ νοηθῆναι δυναμένων καὶ τούτων, τοῦ τε αἰολικοῦ φημὶ ἀναπαιστικοῦ καὶ τοῦ λογαοιδικοῦ, παραδείγματα αὐτῶν οὐ τεθείκαμεν ἀνὰ τριῶν στίχων, ἀλλὰ μόνου ἑνός. ὥσπερ οὖν ἐλέγομεν, τὸ ἀναπαιστικὸν μέτρον δέχεται κατὰ πᾶσαν χώραν ἀδιαφόρως ἀνάπαιστον τὸν ὁμωνυμοῦντα τῷ μέτρῳ πόδα, σπονδεῖον, ὃς ἀνάπαιστος ἐστὶν δυνάμει, τῆς προτέρας αὐτοῦ λυθείσης εἰς δύο βραχείας· καὶ τούτους μὲν ὡς ἐπὶ τὰ πολὺ δέχεται· ◡ ◡ ◡ ◡ προκελευσματικὸν δὲ καὶ – ◡ ◡ δάκτυλον ὡς ἐπ' ἔλαττον, πλὴν τὸν προκελευσματικὸν, ὅς ἐστὶν ἐκ τεσσάρων βραχέων, οἷον, ἄγε φέρε, διότι λύεται εἰς αὐτὸν ὁ ἀνάπαιστος· τοῦ γὰρ ἀναπαίστου ἡ μακρὰ συλλαβὴ εἰ λυθείη εἰς δύο βραχείας, προκελευσματικὸν ποιήσει. προκελευσματικὸς δὲ ὁ ποὺς οὕτω καλεῖται, διὰ τὸ προκελεύειν οἱονεὶ καὶ προτίθεσθαι τῶν τετρασυλλάβων ποδῶν· ὃν τρόπον καὶ τὸν πυρρίχιον ἔνιοι ἀπὸ τοῦ προέχειν τῶν ἄλλων ποδῶν ὡς βραχύτερον οὕτως ὠνόμασαν. τὸν μὲν οὖν προκελευσματικὸν πόδα διὰ τὴν αἰτίαν ταύτην δέχεται τὸ ἀναπαιστικὸν μέτρον. τὸν δὲ δάκτυλον οἱ δραματοποιοὶ παραλαμβάνουσιν ὡς ἰσόχρονον τῷ ἀναπαίστῳ, κἂν ἀπὸ μακρᾶς οὗτος ἄρχεται. τὸ δὲ δακτυλικὸν οὐκ ἐδέχετο ὅλως τὸν ἀνάπαιστον διὰ τὴν ἐξαρχῆς τῶν βραχέων ἐπαλληλίαν· ἀνειμένον γὰρ ἂν καὶ χαῦνον ἐποίει τὸ μέτρον, εἰ ὅλως ἐν τῷ ἡρωϊκῷ παραλαμβάνεται ἀνάπαιστος. ἰστέον δὲ ὅτι [1]) καὶ τοῦτο· ὡς ἔσθ' ὅτε, τῶν ὅλων μακρῶν συλλαβῶν τῶν ἀναπαιστικῶν εἰς βραχεῖαν διαλυομένων, ἐκ προκελευ-

---

1) ṣc.

σματικῶν ὁ στίχος γίνεται ὅλος· ὡς καὶ δοκεῖν τισὶν πυῤῥιχικὸν [1]) εἶναι τὸ μέτρον, ἀλλ' οὐκ ἔστιν. ἀποθήσεις [2]) δὲ ἤτοι καταλήξεις τὸ προκείμενον μέτρον ἔχει ἕξ, διότι καὶ κατὰ διποδίαν μετρεῖται· βραχυκατάληκτον, καταληκτικὸν εἰς συλλαβὴν, καταληκτικὸν εἰς δισύλλαβον, ἀκατάληκτον, ὑπερκατάληκτον εἰς συλλαβὴν, ὑπερκατάληκτον εἰς δισύλλαβον. μετρεῖται δὲ τὸ μὲν ἀναπαιστικὸν μέτρον καὶ κατὰ διποδίαν· τὸ δὲ δακτυλικὸν κατὰ μόνην μονοποδίαν, δι' αἰτίαν τοιαύτην. οὐδέποτε μέτρον τι τὴν ἑξαμετρίαν ὑπερβαίνει. ἐπεὶ οὖν εὑρίσκονται ἀναπαιστικὰ καὶ ἐξ ἑπτὰ καὶ ἐξ ὀκτὼ συγκείμενα ποδῶν, διὰ τοῦτο τὰ τοιαῦτα μετρεῖν κατὰ διποδίαν ἀναγκαζόμεθα. τὰ μέντοι προκείμενα ἡμῖν μέτρα, οἱ τρεῖς οὗτοι ἀνάπαιστοι, δύνανται καὶ κατὰ μονοποδίαν μετρούμενα, ἀναπαιστικὰ καθαρὰ ἑξάμετρα καταληκτικὰ εἰς δισύλλαβον λέγεσθαι, καθὰ καὶ τὰ ὅλα ἡρωϊκά· δύνανται δὲ κατὰ διποδίαν ποδιζόμενα ἀναπαιστικὰ τρίμετρα καταληκτικὰ εἰς δισύλλαβον ὀνομάζεσθαι. τὰ δ' ἐπέκεινα τούτων κατὰ μονοποδίαν μόνον μετρεῖται, δι' ἣν εἴπομεν αἰτίαν. μονόμετρα γοῦν πάλιν ἀναπαιστικὰ ὅλως οὐκ εἰσὶν, ὡς οὐδὲ δακτυλικά. δίμετρα δὲ βραχυκατάληκτα μὲν, ὡς τὸ, ἐμέθεν μελέων, ἐμέθεν. καταληκτικὸν εἰς συλλαβὴν, τὸ, ἵνα λῷον ἄγοις κατὰ σόν με. τοῦτο δὲ παροιμιακὸν καὶ ἑφθημερικὸν καλεῖται. καταληκτικὸν δὲ εἰς δισύλλαβον, οἷον τὸ, σὺ μάκαιρα κύδιμε κόρα κεδνά. ἀκατάληκτον δὲ δίμετρον ἀναπαιστικὸν, τὸ, ἐμέθεν μελέων, ἐμέθεν κραδίης. ὑπερκατάληκτον εἰς συλλαβὴν, τὸ, ἵνα λῷον

1) sic. 2) sic.

ἄγοις κατὰ σὸν με θέλημα. ὑπερκατάληκτον εἰς δισύλλαβον δίμετρον, τὸ, ἐμέθεν μελέων, ἐμέθεν κραδίης ὁρμάν. καὶ δίμετρα μὲν ταῦτα, τρίμετρα δὲ πάλιν, βραχυκατάληκτον μὲν, οἷον τὸ, σὺ μάκαιρα κύδιμε ἀριστοτόκεια κόρα. καταληκτικὸν δὲ, τὸ μὲν εἰς συλλαβὴν, σιμμιακὸν καλεῖται, ὅτι πολλῷ αὐτῷ χρῆται Σιμμίας ὁ Ῥόδιος. ἔστι δὲ ὡς τοῦτο, ἵνα λῷον ἄγοις κατὰ σὸν θέλημα ὁδηγεῦ. τὸ δὲ εἰς δισύλλαβον, ὡς ἕκαστος τῶν προτεθέντων τριῶν στίχων. ἀκατάληκτον δὲ, τὸ τούτων μιᾷ συλλαβῇ πλεονάζον. ταῦτα δὲ πάντα κατὰ μονοποδίαν δύναται μετρεῖσθαι, ὡς ἔφαμεν. ὑπερκατάληκτον δὲ, τὸ μὲν εἰς συλλαβὴν ἐστὶν, ἢ [1]) τῶν προῤῥηθέντων τριῶν ἐπῶν πλεονάζει δυσὶ συλλαβαῖς, οἷον τὸ, σὺ μάκαιρα κύδιμε ἀριστοτόκεια κούρα κεδνὰ, ἵνα. ὑπερκατάληκτον εἰς δισύλλαβον, ὃ τῶν εἰρημένων ἐπῶν συλλαβαῖς τρισὶ πλεονάζει. καὶ ἐπὶ τῶν τετραμέτρων ὡσαύτως, ἵνα μὴ φαίνομαι [2]) περιττολογῶν. πλὴν τὸ τετράμετρον καταληκτικὸν εἰς συλλαβὴν ἐπισημότατον ἐστὶ, καὶ ἀριστοφάνειον ὀνομάζεται, οὐχ ὅτι πρῶτος αὐτῷ ἐχρήσατο Ἀριστοφάνης, ἀλλ' ὅτι κατακόρως καὶ συνεχῶς. Ἀριστόξενος γὰρ, εἶτα Ἐπίχαρμος, εἶτα Κρατῖνος, εἶτα μετὰ τοῦτον Ἀριστοφάνης εὕρηται τῷ μέτρῳ τούτῳ χρώμενος. ἔστι δὲ τοιοῦτον, οἷον τὸ, ἐμέθεν μελέων, ἐμέθεν κραδίης ἰθύνουσ' ὁρμὰν ἵνα λῷον.

Περὶ αἰολικοῦ.

Τοιοῦτον ἐστὶν, ὅσον τέως κατὰ τὸ τετράμετρον καταληκτικὸν εἰς συλλαβὴν, καὶ τὸ, νόες γὰρ

1) sic. 2) sic.

ἀδρανέες ἄμμιν ἀνάλκιδες ἀπροτίοπτοι ἀβληχροί, ἡμῖν δὲ τοῦτο τὸ ἔπος εἰς παράδειγμα τέθειται τοῦ αἰολικοῦ ἀναπαιστικοῦ. τὸ γὰρ αἰολικὸν, ὡς ἔφαμεν, ἀναπαιστικὸν τὸν καταρχὰς πόδα ἴαμβον δέχεται. τοὺς δὲ ἐφεξῆς ὁμοίως τῷ ἀναπαιστικῷ, σπονδείους, ἢ ἀναπαίστους, ἀδιαφόρως, καὶ τὸν τελευταῖον τροχαῖον ἢ σπονδεῖον διὰ τὸ ἀδιάφορον, ὅτε ἐστὶ καταληκτικὸν εἰς δισύλλαβον. ἔστιν οὖν τὸ ῥηθὲν ἔπος αἰολικὸν τετράμετρον ἀναπαιστικὸν καταληκτικὸν εἰς συλλαβὴν, ὅμοιον τῷ ἀριστοφανείῳ ἀναπαιστικῷ.

Περὶ λογοαοιδικοῦ.

Ἔστι καὶ λογοαοιδικὸν, ὡς εἴπομεν, ἀναπαιστικὸν, ὅπερ καταρχὰς μὲν ἀναπαίστους δ δέχεται, μετὰ δὲ τούτους ἕνα ἴαμβον καὶ μακρὰν συλλαβὴν, ὡς εἶναι τὸν τελευταῖον πόδα ⏑ – – βακχεῖον, ἐκ βραχείας μιᾶς καὶ δύο μακρῶν συλλαβῶν. παράδειγμα δὲ τούτου τὸ, μόρον οὐ νοέοντες ἐφιστάμενον κατάντην. καλεῖται δὲ τοῦτο ἀρχεβουλεῖον· ἅτε δὲ τοῦ Θηβαίου ποιητοῦ, Ἀρχεβούλου, κατακόρως αὐτῷ χρησαμένου. διὰ τὴν αὐτὴν αἰτίαν καὶ καλλιμάχειον ὀνομάζεται. κατὰ διποδίαν δὲ μετρούμενον τρίμετρον ἐστὶ λογαοιδικὸν ἀναπαιστικὸν, εἰς συλλαβὴν καταληκτικόν. δι' ἣν δὲ αἰτίαν λογαοιδικὸν, εἴρηται ἡμῖν ἐν τοῖς ὄπισθεν. ταῦτα περὶ ἀναπαιστικοῦ καὶ τῶν τούτου εἰδῶν.

Περὶ χοριαμβικοῦ.

Ἐκ τῶν ποδῶν τὰ μέτρα συνίσταται. ἐπεὶ δὲ τῶν ποδῶν οἱ μὲν δισύλλαβοι, οἱ δὲ τρισύλλαβοι, οἱ δὲ τετρασύλλαβοι, εἰκὸς καὶ τὰ μέτρα εἶναι τοιαῦτα.

διαλαβόντες οὖν περὶ τῶν ἐκ δισυλλάβων καὶ τρισυλλάβων ποδῶν συγκειμένων μέτρων, καὶ περὶ ἐκ τετρασυλλάβων εἴπομεν [1]). καὶ πρῶτον περὶ τοῦ καλουμένου χοριαμβικοῦ. δύο γάρ εἰσιν μέτρα τῶν ἐκ δισυλλάβων ποδῶν, ἰαμβικὸν καὶ τροχαϊκόν· δύο δὲ τὰ ἐκ τρισυλλάβων, δακτυλικὸν καὶ ἀναπαιστικόν· τὰ λοιπὰ δὲ τὰ ἐκ τετρασυλλάβων, πέντε· χοριαμβικὸν, ἀντισπαστικὸν, ἰωνικὸν ἀπὸ μείζονος, ἰωνικὸν ἀπ' ἐλάσσονος, παιωνικόν. ἡμεῖς μέντοι τοῖς παλαιοῖς ἑπόμενοι μετρικῆς [2]), Ἡρωδιανῷ, καὶ Ἡφαιστίωνι, καὶ τοῖς ἄλλοις, τὸ χοριαμβικον μέτρον τῶν ἄλλων προτάττομεν, ὅτι σύνεγγυς ἐστὶ καὶ τρόπον τινὰ ἐγγίζον τοῖς πρὸ μικροῦ διδαχθεῖσι μέτροις, δακτυλικῷ τε καὶ ἀναπαιστικῷ. τοῦ γὰρ χοριάμβου ποδὸς – ◡ ◡ – εἰ μὲν τὴν τελευταίαν ἀφαιρήσειέ τις συλλαβὴν, δάκτυλον ἀποτελέσει· εἰ δὲ τὴν προτέραν, ἀνάπαιστον. καὶ γὰρ χορίαμβος ποὺς – ◡ ◡ – ἐστὶν ὁ ἐκ μακρᾶς καὶ δύο βραχειῶν καὶ μακρᾶς συλλαβῆς, οἷον ἐκτελέω. χορίαμβος δὲ ὀνομάζεται, ὅτι ἐκ τροχαίου καὶ ἰάμβου τρόπον τινὰ σύγκειται, τροχίαμβός τις ὤν. ἐπεὶ δὲ ὁ τροχαῖος καλεῖται καὶ χορεῖος διὰ τὸ ἐν τοῖς χοροῖς παραλαμβάνεσθαι τὰ τροχαϊκὰ μέτρα παρὰ τῶν κωμικῶν τε καὶ τραγικῶν, χορίαμβος ὁ τοιοῦτος ποὺς λέγεται διὰ τοῦτο. τὸ τοίνυν χοριαμβικὸν μέτρον, εἰ μὲν σύγκειται ἐκ χοριάμβων ποδῶν διόλου, καθαρὸν ὀνομάζεται· εἰ δ' ἐπὶ τέλει διποδίαν ἢ μονοποδίαν ἰαμβικὴν λάβοι, ἐπίμικτον λέγεται. εἰσὶ δὲ τῶν προτεθέντων ἡμῖν χοριαμβικῶν ἐπῶν, τὰ μὲν πρότερα τρία καθαρά· τὰ δὲ ἐφεξῆς δύο, ἐπίμικτα τοῖς ἰάμβοις.

---

1) fic. 2) fic.

ὑποθέσεις δὲ ἤτοι καταλήξεις ἔχει τὰ χοριαμβικὰ, καὶ ἁπλῶς τὰ ἐκ τετρασυλλάβων ποδῶν μέτρα, μόνα ταῦτα· καταληκτικὸν, ὑπερκατάληκτον, ἀκατάληκτον· βραχυκατάληκτον δὲ, ὡς οἱ πρὸ ἡμῶν μετρικοὶ φασὶν, οὐ δέχεται, ἵνα μὴ τοῖς ἐκ δισυλλάβων ποδῶν συγκειμένοις μέτροις κατὰ τοῦτο συμπίπτωσιν· ἐκείνων γὰρ ἴδιον τοῦτο· ὥσπερ οὐδὲ καταληκτικὸν εἰς συλλαβὴν καὶ δισύλλαβον· τοῦτο γὰρ ἐκ τῶν τρισυλλάβων ποδῶν βαινομένων μέτρων ἴδιον ἦν. μόνας οὖν ἔχει τὰς εἰρημένας. τὸ μέντοι χοριαμβικὸν μέτρον καὶ τὰ ἑξῆς πάντα τὰ ἐκ τετρασυλλάβων ποδῶν κατὰ μονοποδίαν μετρεῖται. ἄρχεται δὲ καὶ τοῦτο ἀπὸ τοῦ διμέτρου καταληκτικοῦ, ἵνα μὴ τοῖς ῥηθεῖσι συμπίπτει [1]) μέτροις. τὸ δὲ καταληκτικὸν, εἰ μὲν καθαρόν ἐστι, εἰς δάκτυλον λήγει, ἢ ἀμφίμακρον – ◡ – τὸν τροχαϊκὸν ὀνομαζόμενον, ὅς ἐστιν ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, οἷον ποιῶ· εἰ δὲ μεμιγμένον τοῖς ἰάμβοις, ἀμφίβραχυν ◡ – ◡, ὅς ἐστιν ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας, οἷον ἄνακτες, ἢ εἰς βακχεῖον ◡ – –, ὅς ἐστιν ἐκ βραχείας καὶ δύο μακρῶν, οἷον ἀφαιρῶ. παράδειγμα τοῦ καθολικοῦ διμέτρου καταληκτικοῦ χοριαμβικοῦ, τοῦ μὲν εἰς δάκτυλον λήγοντος τόδε, καί τε καθυπνεῦντά με· τοῦ δὲ εἰς ἀμφίμακρον, ἀλλά γε καὶ ἠρεμῶ· διμέτρου δὲ ἀκαταλήκτου, σεῖο δ' ἄνευ μὴ δὲ πνοᾶς· ὑπερκαταλήκτου δὲ, ἀλλά γε καὶ ἠρεμόωντα. τρίμετρα δὲ εἰσὶ, καταληκτικὸν μὲν εἰς δάκτυλον περαιούμενον, σεῖο δ' ἄνευ μὴ πνοᾶς μέτρα γε· εἰς δὲ ἀμφίμακρον, ἠρεμόων τ' ἀτρεμέη βιοτᾶ· ἀκατάληκτον δὲ τρίμετρον, καί τε

[1]) sic.

καθυπνεῦντά με διαμπερέως· ὑπερκατάληκτον δὲ, σεῖο δ' ἄνευ μὴ δὲ πνοᾶς μέτρον ἔχοιμι. καὶ τρίμετρα μὲν ταῦτα. τετράμετρα δὲ, καταληκτικὰ μὲν εἰς δάκτυλον περαιούμενα, ὡς τόδε, καί τε καθυπνεῦντά με διαμπερέως φρούρεε· εἰς δὲ ἀμφίμακρον, ἀλλά γε καὶ ἠρεμόων τ' ἀτρεμέη βιοτᾶ· ἀκατάληκτον δὲ τὸ ταύτου πλεονάζον μιᾷ συλλαβῇ, ὡς τὸ, σεῖο δ' ἄνευ μὴ δὲ πνοᾶς μέτρον ἔχοιμι βιοτᾶ· ὑπερκατάληκτον δὲ, οἷον τὸ, ἀλλά γε καὶ ἠρεμόων τ' ἀτρεμέως καί τε καθυπνεῦν. καὶ πεντάμετρα δὲ εἰσὶν ὁμοίως ἀκατάληκτα, ὑπερκατάληκτα καὶ καταληκτικά· ἃ καταληκτικὰ καὶ ὁ ποιητὴς Καλλίμαχος ἐν ὁλοκλήροις ποιήμασι τίθησι. καὶ τὰ ἑξάμετρα δὲ καταληκτικὰ, εἰ καὶ ὑπέρμετρα φαίνεται, ἀλλ' ὅμως ἐπετηδεύσατο ταῦτα, ὅ τε Κερκυραῖος Φίλικος, ὃς τῆς ἐπὶ Πτολεμαίου Πλειάδος, καὶ ὁ Ῥόδιος Σιμμίας ἔν τε τῷ πελέκει καὶ ἐν ταῖς πτέρυξι· ποιημάτια δὲ εἰσὶ ταῦτα παρ' ἐκείνῳ. καὶ τοῦ μὲν καθαροῦ χοριαμβικοῦ παραδείγματα ταῦτα τὰ ῥηθέντα.

Περὶ τοῦ ἐπιμίκτου χοριαμβικοῦ.

Τοῦ δ' ἐπιμιγνυμένου τοῖς ἰάμβοις, τοῦ μὲν εἰς ἀμφίβραχυν λήγοντος διμέτρου καταληκτικοῦ παράδειγμα τὸ, εὐδιόωσα πόντον· τοῦ δὲ εἰς βακχεῖον τὸ, εὐδιόωσα πόντους· ἀκατάληκτον δὲ διμέτρου ἐπιμίκτου παράδειγμα, ἠπιόωσα προσπόλῳ. ταῦτα δὲ τὰ δύο εἴδη τοῦ ἐπιμίκτου διμέτρου Ἀνακρέων καὶ Ἀριστοφάνης ἐν τοῖς μάλιστα ἐπιτηδεύουσιν.

Περὶ ἀντισπαστικοῦ.

Μετὰ περὶ χοριαμβικοῦ μέτρου διαλαβεῖν, μέτιμεν ἑξῆς ἐπὶ τὸ ἀντισπαστικὸν εὐλόγως, ὅτι κοινωνεῖ

κατὰ πολλὰ τὸ ἀντισπαστικὸν μέτρον τῷ χοριαμβικῷ· πρῶτον μὲν, ὅτι καὶ ἄμφω τὰ μέτρα ἐπὶ τέλει τὸν ἴαμβον παραλαμβάνουσιν, ὡς κατακλεῖδα· ἔπειτα δὲ, ἂν δύο συλλαβὰς τοῦ χοριαμβικοῦ μέτρου ἀφαιρήσει τὶς, ἀντισπαστικὸν τοῦτο ἀποτελέσει, καὶ ἐὰν ἀπὸ τοῦ ἀντισπαστικοῦ πάλιν τοσαύτας ἀποτέμῃ, χοριαμβικὸν ποιήσει τὸ μέτρον. ἔστι δὲ πᾶς ἀντίσπαστος ⏑ – – ⏑, ὁ ἐκ βραχείας καὶ μακρᾶς, καὶ μακρᾶς καὶ βραχείας, οἷον Ἀλέξανδρος. οὕτως δὲ ἐκλήθη, παρ' ὅσον ἀντεσπασμένος καὶ οἷον ἐναντίος τίς ἐστιν ἴαμβος. τὸ μὲν γὰρ ἀπὸ βραχείας καὶ μακρᾶς ἄρχεσθαι, τοῦ ἰάμβου· τὸ δὲ μετὰ ταῦτα εἰς μακρὰν καὶ βραχεῖαν τελευτᾷν, ἀντικείμενον τῷ ἰάμβῳ. τὸ δὲ ἀντισπαστικὸν μέτρον ὅτὲ μὲν καθαρὸν συντίθεται, ὅτὲ δὲ ἐπίμικτον, ἰάμβους ἐπὶ τέλει δεχόμενον. καὶ μὴν ἀλλὰ καὶ τὸν πρότερον πόδα ἀδιαφόρως ἔχει τρεπόμενον κατὰ τὰ τέσσαρα σχήματα τοῦ δισυλλάβου, τουτέστιν εἰς τὰς δύο συλλαβὰς τοῦ προτέρου ποδὸς ὅτὲ μὲν ἴαμβον παραλαμβάνει, ὅτε καὶ κύριος ἀντίσπαστος γίνεται, ὅτὲ δὲ σπονδεῖον, ὅτὲ πυῤῥίχιον, ὅτὲ τροχαῖον. τοῦ μὲν οὖν καθαροῦ ἀντισπαστικοῦ, οἳ [1]) μήτε κατ' ἀρχὰς εἴς τινα τῶν ἄλλων δισυλλάβων ἐτράπη, μήτε ἐπὶ τέλει ἰαμβικὴν ἐδέξατο διποδίαν, παράδειγμα οἱ προκείμενοι ἀντισπαστικοὶ στίχοι τρεῖς. περὶ δέ γε τοῦ κατ' ἀρχὰς εἰς τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα τρεπομένου ἀντισπαστικοῦ καὶ ἐπὶ τέλει τὴν ἰαμβικὴν διποδίαν δεχομένου ἰδίᾳ διελάβομεν, καὶ λάμβανε ἐκεῖθεν παραδείγματα τῶν συμμίκτων ἀντισπαστικῶν, ἃ καὶ ἀνακρεόντεια καὶ

1) sic.

γλυκώνεια, ὡς ἐκεῖ ἔφαμεν, λέγονται· ὧν ἡ ἀρχὴ ἐστὶ, θηρῶν αἰθέριον σκέπας. τὰ μέντοι προκείμενα τρία ἔπη ἀντισπαστικά εἰσι καθαρὰ τετράμετρα καταληκτικά. ὑφίστανται δὲ ἐν τούτῳ τῷ μέτρῳ μονόμετρά τε καὶ δίμετρα καὶ τρίμετρα καὶ τετράμετρα, καὶ μὴν πεντάμετρα, καταληκτικὰ, ἀκατάληκτα καὶ ὑπερκατάληκτα· καὶ ταῦτα γὰρ ἀποθέσεις ἔχουσι τρεῖς, ὡς ἔφαμεν, διὰ τὸ ἐκ τετρασυλλάβων συγκεῖσθαι ποδῶν. μονόμετρον μὲν οὖν ἀκατάληκτον καταληκτικὸν οὐ δύναται ὑποστῆναι κατά γε ἐμὲ ἐν τῷ παρόντι μέτρῳ· συνεμπέσοι γὰρ ἄν τινι τῶν προῤῥηθέντων μέτρων· ἄλλως τε δὲ οὐδέ τις εὕρηται τῶν παλαιῶν τούτῳ χρησάμενος, οὐδ᾽ αὐτὸς ὁ Ἡφαιστίων μνημονεύει ὅλως τοιούτου τινός. μονόμετρον δὲ ὑπερκατάληκτόν ἐστιν, οἷον τὸ, φαείνοισά μοι. τοῦτο δὲ ἐπίσημόν ἐστι πενθημιμερὲς ὀνομαζόμενον, ὅτι τοῦ πέντε τὸ ἥμισυ ἔχει· μετρούμενον γὰρ κατὰ δισυλλαβίαν, δύο ἥμισυ δισυλλαβίας εὑρίσκεται ἔχον. τὸ αὐτὸ δὲ καὶ δοχμαϊκὸν ὀνομάζεται, ἢ ἀπὸ ἔθνους οὕτως ὀνομαζομένου, ἢ ἀπὸ τοῦ πρώτως αὐτῷ χρησαμένου, ἢ παρ᾽ ὅσον, ἔνιοι φασὶ, πλάγιόν τινα τὸν ῥυθμὸν ἔχει καὶ οὐκ ὀρθότατον. δίμετρον δὲ ἐστὶ καταληκτικὸν μὲν τὸ, πολεῦντος πότνιά με. τοῦτο δὲ ἑφθημιμερὲς καλεῖται, τρεῖς ἥμισυ ἔχον δισυλλαβίας, αἵ εἰσιν ἥμισυ τοῦ ἑπτά. ταὐτὸ τοῦτο καὶ Φερεκράτειον λέγεται, ὡς κατακόρως τούτου χρησαμένου τοῦ Φερεκράτους. πολλῷ δὲ αὐτῷ κέχρηται καὶ ἡ ποιήτρια Κορίννη. δίμετρον δὲ ἀκατάληκτον ἐστὶν, οἷον τὸ, ἐν ὄρφναις μὲν ἀφεγγέσι. τοιαῦτα δὲ εἰσὶν, ὅσον κατὰ τὸ δίμετρον ἀκατάληκτον, καὶ τὰ ἴδια ἡμῖν τεθέντα εἰς παράδειγμα τῶν συμμίκτων ἀναπαίστων. ὀνομάζονται δὲ τὰ τοι-

αὗτα δίμετρα, ὡς καὶ ἀνώτερον ἔφαμεν, γλυκώνειά τε καὶ ἀνακρεόντεια. δίμετρον δὲ ὑπερκατάληκτον, ὅπερ καὶ σαπφικὸν καὶ ἱππονάκτειον ὀνομάζεται, ἅτε δὴ Σαπφοῦς καὶ Ἱππόνακτος κατακόρως αὐτῷ χρησαμένων, τὸ, λύοισα δνοφερὰν κνέφαος. τοῦτο δὲ ἕνα μόνον τὸν πρῶτον ἀντίσπαστον ἔχει, ἑξῆς δὲ διποδίαν ἰαμβικὴν καὶ μίαν περιττὴν συλλαβήν. τοῦτο δὲ καὶ ἐννεασύλλαβον λέγεται αὐτό· ἐννέα γὰρ ἔχει τὰς ὅλας αὐτοῦ συλλαβάς. καὶ δίμετρα μὲν ταῦτα. τρίμετρον δὲ, καταληκτικὸν μὲν, τὸ ἐξ ἑνὸς μόνου ποδὸς ἀντισπαστικοῦ, τῶν δὲ ἑξῆς ἰαμβικῶν, τὸ προκείμενον ἔπος τὸ, λύοισα δνοφερὰν κνέφαος ὁρμάν. τοῦτο δὲ καὶ φαλαίκειον λέγεται, τοῦ ποιητοῦ Φάλαικος πλειστάκις αὐτῷ χρησαμένου. τὸ ἀκατάληκτον δὲ τρίμετρον, ὅταν τὴν τελευταίαν μόνην ἔχει ἰαμβικὴν, τὰς πρὸ αὐτῆς δὲ δύο ἀντισπαστικὰς, ἀσκληπιάδειον λέγεται, οἷον, ἀφεγγέσσι φαείνοισιν, κέλευθον αὖ. πολλῷ δὲ τῷ τοιούτῳ καὶ Ἀλκαῖος χρῆται. τρίμετρον δὲ ὑπερκατάληκτον εἴη ἂν τὸ, ὁδῷ δ' ἐν ἀβάτῳ καὶ παρ' ἐρήμαισιν ὤν. καὶ τρίμετρα μὲν ταῦτα. τετράμετρα δὲ, καταληκτικὸν μὲν, τῶν προκειμένων ἐπῶν ἕκαστον, ὡς τὸ, πολεῦντος πότνιά μευ παρομάρτευ ἐπίκουρος· ὃ δὴ καὶ καθαρόν ἐστι, καὶ τοῖς παλαιοῖς ποιηταῖς τοιοῦτον ἐπιτηδεύεται. ἀκατάληκτον δὲ τετράμετρόν ἐστιν, οἷον τὸ, πολεῦντος πότνιά μευ παρομάρτευ ἐπίκουρος εὐ· ὃ δὴ μόνον ἔχει τὴν τελευταίαν διποδίαν ἰαμβικὴν, τοὺς δὲ πρὸ ταύτης ἀντισπάστους καθαρούς. καὶ ὅταν τοιοῦτον ᾖ, σαπφικὸν καὶ ἑκκαιδεκασύλλαβον ὀνομάζεται. καὶ Ἀλκαῖος δὲ ὁ ποιητὴς πολλῷ τοῦτο [1]) ἐχρήσατο. τε-

1) sic.

τράμετρον δὲ ὑπερκατάληκτόν ἐστι, οἷον τὸ, ὀδῷ δ' εἰν ἀβάτῳ καὶ παρ' ἐρήμαισιν ὤν. τοῦτο δὲ καὶ σιμμιακὸν ὀνομάζεται, ὡς Σιμμίου τοῦ Ῥοδίου χρησαμένου αὐτῷ. καὶ ἡμεῖς μὲν πέρα τῶν τριμέτρων καταληκτικῶν οὐ προέβημεν, διὰ τὸ ἐπισημότατον εἶναι τὸ τοιοῦτον καθαρὸν ἐπιτηδευόμενον. εἰσὶ δὲ καὶ πεντάμετρά τινα, καταληκτικά τε καὶ ἀκατάληκτα· ὧν τὸ ἀκατάληκτον, ἐπὶ τέλους ἰαμβικὴν διποδίαν δεχόμενον, ἀλκαϊκὸν ὀνομάζεται. κέχρηται δὲ τούτῳ Ἀλκαῖος. ἔστι δὲ τοιοῦτον, οἷον τὸ, ὀδῷ δ' εἰν ἀβάτῳ καὶ παρ' ἐρήμαισιν ἀρούραισι φάεινέ μοι. καὶ περὶ μὲν ἀντισπαστικοῦ ἀρκείτο τοσαῦτα.

Περὶ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος.

Ὥσπερ τὸ ἰαμβικὸν μέτρον ἀντικείμενον ἦν τῷ τροχαϊκῷ, ὅτι τὸ μὲν ἀπὸ βραχείας ἤρχετο καὶ κατέληγεν εἰς μακρὰν, τὸ δ' ἀπὸ μακρᾶς εἰς βραχὺ τροχαϊκὸν, οὕτω καὶ τὸ χοριαμβικὸν καὶ ἀντισπαστικὸν μέτρον ἀντιπαθῆ καὶ ἀντικείμενά εἰσι τοῖς ἰωνικοῖς καλουμένοις μέτροις, παρ' ὅσον ἐκεῖνα μὲν, ὅτι καὶ μᾶλλον ἦσαν ἐπίμικτα, ἐπὶ τέλει τοὺς ἰάμβους δεχομένων; χοριαμβικῶν φησὶ καὶ ἀντισπαστικῶν, ἐφεξῆς καὶ περὶ τῶν ἰωνικῶν διεξέλθωμεν τῶν τοὺς τροχαίους δεχομένων πρὸς τῷ τέλει. ἰωνικοὶ δὲ εἰσὶ δύο, καὶ ἄμφω τετρασύλλαβοι· ὧν ὁ μὲν ἀπὸ μείζονος λέγεται, ὁ ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν συλλαβῶν, ὁ δὲ ἀπ' ἐλάσσονος, ὁ ἐκ β' βραχειῶν καὶ δύο μακρῶν. εἰλήφασι δὲ τὴν ὀνομασίαν ἀπ' αὐτῆς τῆς τῶν βραχειῶν ἢ μακρῶν συλλαβῶν προκατάρξεως. πρότερον μὲν περὶ τοῦ ἀπὸ μείζονος ἐροῦμεν. προτετίμηται γὰρ οὗτος διά τε τοῦτο αὐτὸ τὸ ἀπὸ μακρῶν ἄρχεσθαι,

ὡς μεῖζον ἐλάττονος, καὶ διὰ τὸ πολὴν συγγένιαν [1]) ἔχειν πρὸς τὸ πρὸ μικροῦ ῥηθὲν τε καὶ πραχθὲν μέτρον, λέγω δὴ τὸ ἀντισπαστικόν· μιᾶς γὰρ συλλαβῆς τῆς ᾱ ἀφαιρηθείσης τοῦ καθαροῦ ἀντισπαστικοῦ, γενήσεται τὸ μέτρον καθαρὸν ἰωνικὸν ἀπὸ μείζονος, ὥσπερ αὖ τῷ καθαρῷ ἰωνικῷ μιᾶς συλλαβῆς καταρχὰς προτεθείσης ἀντισπαστικὸν τὸ μέτρον γένοιτ' ἄν. τὸ τοίνυν ἰωνικὸν συντίθεται μὲν καὶ καθαρὸν, συντίθεται δὲ καὶ ἐπίμικτον, ὅταν ἐπὶ τέλει δέχηται, ὡς ἔφαμεν, τοὺς τροχαίους. περὶ μὲν οὖν τοῦ καθαροῦ ἐνταῦθα ἐροῦμεν· περὶ δέ γε τοῦ ἐπιμίκτου ἰδίᾳ διελάβομεν, ἔνθα καὶ περὶ τοῦ συμμίκτου ἰωνικοῦ τοῦ ἀπ' ἐλάσσονος. ἔστι δὲ ἡ ἀρχὴ τῶν τοιούτων ἐπῶν αὕτη· ἐν ἀφανίσι βελέμνοις. ἐκεῖ γὰρ μετὰ ἡ στίχους ἰωνικοὺς ἀπ' ἐλάσσονος δύο κεῖνται ἰωνικοὶ ἀπὸ μείζονος σύμμικτοι. τὸ γοῦν καθαρὸν ἰωνικὸν κατὰ πᾶσαν χώραν τὸν ὁμώνυμον αὐτῷ ἰωνικὸν παραδέχεται. δέχεται δὲ καὶ ἐν ταῖς ἀρτίαις, τουτέστι β̄ καὶ δ̄, τοὺς μολοσσούς. μολοσσὸς δὲ ἐστὶ ποὺς ὁ ἐκ τριῶν μακρῶν, οὕτος [2]) ὀνομαζόμενος διὰ τὸ μήκιστος εἶναι τῶν τρισυλλάβων ποδῶν πάντων ἢ διὰ τὸ εὑρεθῆναι τὴν τοιαύτην ῥυθμοποιΐαν ὑπό τινος ἔθνους οὕτω λεγομένου. εἰσὶ δ' ἐν τούτῳ τῷ μέτρῳ δίμετρά τε καὶ τρίμετρα, καὶ τετράμετρα, καὶ πεντάμετρα. ἐν δὲ τούτοις τὰ μὲν βραχυκατάληκτα, τὰ δὲ καταληκτικὰ, τὰ δὲ ἀκατάληκτα, τὰ δὲ ὑπερκατάληκτα. δίμετρον μὲν οὖν ἐστι βραχυκατάληκτον τοῦτο, καὶ λάβρον ἐρύκοις. δίμετρον δὲ καταληκτικὸν τὸ, ἐν δ' ἀμερίῳ φωτί. τοῦτο δὲ καὶ ἐπίσημόν ἐστιν, ἑφθημιμερὲς καλούμενον, ὅτι

1) sic. 2) sic.

τρεῖς ἥμισυ ἔχει δισυλλαβίας, αἳ εἰσὶν ἥμισυ τοῦ ἑπτά. πολλῷ τῷ τοιούτῳ ἡ ποιήτρια Τελέσιλλα κέχρηται. δίμετρον δὲ ἐστὶν ἀκατάληκτον τὸ, χ' ὡς παῖς πόκα πότνα σέθεν. τοῦτο δὲ καὶ κλεομάχειον λέγεται, ὅτι πολλῷ αὐτῷ ὁ ποιητὴς Κλεόμαχος χρῆται, ὅς πύκτης μὲν πρότερον, ὡς φασὶν, ἦν, ἐρασθεὶς δέ τινος νέου, τὴν ποιητικὴν μετεχειρίσατο. δίμετρον δὲ ἐστὶν ὑπερκατάληκτον τὸ, καὶ λάβρον ἐρύκοισαν νεφῶν. καὶ δίμετρα μὲν ταῦτα. τρίμετρα δὲ, βραχυκατάληκτον μὲν πάλιν τὸ, χὼς παῖς πόκα πότνα σὸς ἐφ' ἄμμιν. ταῦτα δὲ πραξίλλεια καλεῖται, τῆς ποιητρίας Πραξίλλης κατακόρως αὐτοῖς χρησαμένης. καὶ ἡ Σαπφὼ δὲ πολλαχοῦ φαίνεται τούτοις χρωμένη. ἐπὶ δὲ τοῦ τοιούτου τριμέτρου καὶ ἀντὶ τοῦ β' ποδὸς αἱ εἰρημέναι ποιήτριαι τροχαϊκὴν τιθέασι διποδίαν. τρίμετρον δὲ ἐστὶ καταληκτικὸν τὸ, ἐν δ' ἀμερίῳ φωτὶ φλέγοισάν με. τρίμετρον δὲ ἀκατάληκτον, οἷον τὸ, ἐν δ' ἀμερίῳ φωτὶ φλέγοισαν ζέσιν. τὰ τοιαῦτα τρίμετρα διχῶς συντιθέασιν οἱ Αἰολεῖς, τοῖς τροχαϊκοῖς συμπλέκοντες ποσί. πῶς δὲ, εἴρηται ἡμῖν ἰδίᾳ, ἔνθα καὶ περὶ τοῦ διμέτρου ἀπ' ἐλάσσονος ἰωνικοῦ διηλήφαμεν [1]), ὡς καὶ ἄνωθεν ἔφαμεν. τρίμετρον δὲ ὑπερκατάληκτόν ἐστι τὸ, καὶ λάβρον ἐρύκοισα νεφῶν ὀμβροφόρων. καὶ τρίμετρα μὲν ταῦτα. τετράμετρα δὲ, βραχυκατάληκτον μὲν, οἷον τὸ, χ' ὡς παῖς πόκα πότνα σὸς ἐφ' ἄμμιν τερατουργεῖς. τοῦτο δὲ σωτάδειον ὀνομάζεται, καὶ ἐπίσημόν ἐστι, ἅτε δὴ τοῦ ποιητοῦ Σωτάδου πολλῷ αὐτῷ χρησαμένου. οὗτος δὲ ἐστὶν ὁ Σωτάδης ὁ την Ὁμηρικὴν Ἰλιάδα ἐξ

1) sic.

ἡρωϊκοῦ μέτρου ἐπιχειρήσας εἰς ἰωνικὸν ἀπὸ μείζονος μέτρον μετασκευάσαι· οὗ μέμνηται καὶ Ἑρμογένης ἐν ταῖς ἰδέαις. τετράμετρον δὲ καταληκτικὸν τῶν ἐκκειμένων τριῶν ἐπῶν ἕκαστον. καὶ ἡμεῖς μὲν περαιτέρω τῶν τοιούτων τετραμέτρων οὐ προέβημεν. πλὴν ἐπισημότατα εἰσὶ καὶ τὰ ἀκατάληκτα τετράμετρα, ἃ μισυλλαβῇ [1]) τῶν προκειμένων πλεονάζουσι. τιθέασι δὲ καὶ ταῦτα οἱ Αἰολεῖς διχῶς. ἢ γὰρ δυσὶν ἰωνικοῖς τροχαϊκὴν διποδίαν μίαν. τούτου παράδειγμα ἔστω τόδε, ἐν δ' ἀμερίῳ φωτὶ φλέγοισαν ζέσιν ἡλίου με. αἰολικὰ δὲ ὀνομάζεται καὶ ταῦτα, ὅτι Σαπφὼ αὐτοῖς κέχρηται, αἰολικῇ διαλέκτῳ χρωμένη. καὶ περὶ τοῦ ἀπὸ μείζονος μὲν ἰωνικοῦ ἱκανὰ ταῦτα· νοήσειε γὰρ ἐκ τούτων πάντως ἄν τις καὶ τετράμετρα ὑπερκατάληκτα· ὁμοίως δὲ καὶ τὰ πεντάμετρα.

Περὶ ἰωνικοῦ τοῦ ἀπ' ἐλάσσονος.

Τὸ ἰωνικὸν ἀπ' ἐλάσσονος μέτρον ἀντιπαθὲς ἐστὶ τῷ ἀπὸ μείζονος ἰωνικῷ, καθόσον τοῦτο μὲν τὸ ἀπ' ἐλάσσονος, ἀπὸ πυῤῥιχίου ἀρχόμενον, εἰς σπονδεῖον καταλήγοντα τῶν ποδῶν ἕκαστον ἔχει, ὅτε ἐστὶ καθαρὸν, τὸ δ' ἀπὸ μείζονος ἀνάπαλιν ἀπὸ σπονδείου [2]) ἀρχόμενον, καὶ περαιούμενον εἰς πυῤῥίχιον, κατ' ἐκεῖνο γοῦν τέτακται τοῦτο τὸ ἀπ' ἐλάσσονος ἰωνικὸν ἀναγκαίως. συντίθεται δὲ καὶ τοῦτο, ὁτὲ μὲν καθαρὸν, ὁτὲ δὲ ἐπίμικτον πρὸς τὰς τροχαϊκὰς διποδίας. καὶ ὅτε μὲν καθαρὸν ἐστὶ, κατὰ πᾶσαν χώραν τὸν ὁμώνυμον αὐτῷ δέχεται πόδα, λέγεται δὴ τὸν ἀπ' ἐλάσσονος ἰωνικὸν, καὶ ἐν ταῖς περιτταῖς, τουτέστι πρώτῃ, τρίτῃ,

1) sic. 2) sic.

πέμπτη, τοὺς μολοττούς. καὶ τοῦτο εὐλόγως· εἰ γὰρ ἐν ταῖς ἀρτίαις τούτους ἐδέχετο, ἐπαλληλία πολλὴ καὶ συνέχεια ἐγίνετ' ἂν τῶν μακρῶν φωνηέντων. διὰ γὰρ τοῦτο καὶ ἐν τοῖς ἀπὸ μείζονος ἰωνικοῖς ἐν ταῖς ἀρτίαις χώραις τοὺς μολοττοὺς, ὡς ἔφαμεν, ἐλαμβάνομεν· εἰ γὰρ ἐν τῇ ᾱ χώρᾳ ὁ μολοττὸς ἔκειτο πούς ἐκ τριῶν συγκείμενος μακρῶν, ἑξῆς δὲ καὶ τὰ δύο μακρὰ πάλιν τοῦ ἀπὸ μείζονος ἰωνικοῦ ἐπήγοντο, πολλὴν ἂν ἀρυθμίαν ἡ τῶν πέντε μακρῶν ἐπιφορὰ ἐνεποίει. ὅτε μὲν οὖν καθαρόν ἐστι τὸ ἰωνικὸν ἀπ' ἐλάσσονος μέτρον, ὅπερ ἐλέγομεν, τούτους δέχεται τοὺς πόδας· ὅτε δὲ ἐπίμικτόν ἐστι, καὶ ἐπὶ τέλει τροχαϊκὴν δέχεται διποδίαν, ἢ μονοποδίαν τὸν πρὸ τῶν τροχαίων πόδα, οὐ δέχεται καθαρὸν ἰωνικὸν, ἀλλὰ παίωνα τρίτον, ὅς ἐστιν ἐκ δύο βραχέων [1]) καὶ μακρᾶς καὶ βραχείας. περὶ μὲν οὖν τῶν καθαρῶν τε καὶ ἐπιμίκτων ἀπ' ἐλάσσονος ἰωνικῶν ὁμοῦ καὶ ἐν ἑτέρῳ ποιηματίῳ προειλήφαμεν· οὗ ἡ ἀρχὴ, ὡς καὶ ἐν τοῖς ἀνωτέρω εἴπομεν, ἐν ἀφανέσι βελέμνοις κραδίην μέσην γυναικός. ἐκεῖ γὰρ ἐναλὰξ [2]) ὁ μὲν εἷς καθαρὸς, ὁ δ' ἕτερος ἐπίμικτος, τῇ τροχαϊκῇ μονοποδίᾳ προεκκείμενον ἔχων παίωνα τρίτον. κἀνταῦθα τῶν ἐκκειμένων ἓξ στίχων οἱ μὲν τρεῖς ἰωνικοὶ εἰσὶ καθαροὶ, οἱ δὲ λοιποὶ τρεῖς ἐπίμικτοι. εἰσὶ δὲ ἐν τούτῳ τῷ μέτρῳ δίμετρά τε καὶ τρίμετρα, καὶ τετράμετρα, καὶ πεντάμετρα· καὶ τούτων τὰ μὲν βραχυκατάληκτα, τὰ δὲ καταληκτικά τε καὶ ἀκατάληκτα, καὶ ὑπερκατάληκτα. ὁμοίως τὸ ἀπὸ μείζονος ἰωνικῷ [3]) καὶ δίμετρον μὲν βραχυκατάληκτόν ἐστιν, οἷον τὸ, διά-

1) sic. 2) sic. 3) sic.

γοις ἀβλαβῆ· δίμετρον δὲ καταληκτικὸν, ὡς τὸ, διάγοις ἀβλαβέα. τουτο δὲ ἐπισημειοῦνται οἱ παλαιοὶ ὡς ἐνδοξότατον. ἑφθημιμερὲς γάρ ἐστι. καὶ πολλῷ Τιμοκρέων κέχρηται τουτῳ [1]· ἀπάγοις ἐκ κακότητος. τοῦτο δὲ ἐπισημότατον γίνεται, ὅταν συμμίγνυται τῇ τροχαϊκῇ μονοποδίᾳ, καὶ πρὸ αὐτῆς, ὡς εἴπομεν, τὸν τρίτον παίωνα δέχεται, οἷα εἰσὶ τὰ προκείμενα τρία ἔπη τὰ μετὰ τοὺς τρεῖς καθαροὺς ἰωνικούς. τὸ δ' αὐτὸ καὶ ἀνακρεόντειον ὀνομάζεται, ὡς αὐτῷ κατακόρως χρησαμένου τοῦ Ἀνακρέοντος. ποδίζεται δὲ τοῖς νεωτέροις διὰ τὸ σαφέστερον, οἶμαι, ἄλλως ἤπερ ἔφαμεν· ἐξ ἀναπαιστου γὰρ καὶ δύο ἰάμβων καὶ μιᾶς κοινῆς συλλαβῆς τοῦτο μετροῦσιν οἱ νῦν. δίμετρον δὲ ὑπερκατάληκτόν ἐστιν, οἷον τὸ, ἐνάγοισ' εἰς θαλέθοισάν με. καὶ δίμετρα μὲν ταῦτα. τρίμετρα δὲ, βραχυκατάληκτον μὲν αὖ, οἷον τὸ, ἀπάγοις ἐκ κακότητος νύ με· καταληκτικὸν δὲ τρίμετρον, οἷον τὸ, διάγοισ' ἀβλαβέα παντοδαπᾶν. καὶ τούτῳ δὲ κατακόρως κέχρηται Διονύσιος ὁ ποιητής. ἀκατάληκτον δὲ ἐστὶ τρίμετρον, ἀπάγοις ἐκ κακότητος μογεροῦ νυ. καὶ τοῦτο τὸ μέτρον πολὺ ἐστὶ παρὰ Ἀνακρέοντι καὶ Σαπφοῖ. τρίμετρον δὲ ὑπερκατάληκτον, τὸ, ἐνάγοις εἰς θαλέθοισαν μυρίοις γαῖαν. καὶ τρίμετρα μὲν ταῦτα. τετράμετρα δὲ, βραχυκατάληκτον μὲν, οἷον τὸ, διάγοις ἀβλαβέα παντοδαπᾶν ἐκ κακῶν. τούτῳ δὲ τῷ βραχυκαταλήκτῳ τετραμέτρῳ ὁλόκληρα ἐπιτίθησιν ᾄσματα Ἀνακρέων, τὸν μὲν πρῶτον πόδα ἰωνικὸν τιθεὶς ἀπ' ἐλάσσονος, τὸν δὲ μετ' ἐκεῖνον παίωνα τρίτον, ὃς

1) In margine legitur ex eadem manu: $\alpha^{\alpha\iota}$ δίμετρον ἀκατάληκτον.

ἐστὶν ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας, εἶτα κατὰ τὸ ἔθος τῶν ἐπιμίκτων, ὡς καὶ ἀνωτέρω εἴπομεν, τροχαϊκὴν συζυγίαν, εἶτα σπονδεῖον. τὰ δὲ τοιαῦτα ἐξ ἐπιμιξίας καλοῦσιν ἀνακλώμενα, ἴσως, ὥς ἔνιοι φασὶ, διὰ τὸ ἀνακλᾶσθαι τὴν κλάσι [1]) τῆς φωνῆς πρὸς ἁπαλότητα. τί μέντοι τὸ κύριον ἐστὶν ἀνακλώμενον, ἐν τοῖς κατὰ ἀντιπάθειαν μεμιγμένοις ἔπεσιν ἐροῦμεν. τετράμετρον δὲ ἀκατάληκτον καθαρὸν ἐστὶ ἕκαστον τῶν προκειμένων τριῶν ἐπῶν. τὰ δὲ τοιαῦτα τετράμετρα καὶ ἐπισημότατα εἰσί. καὶ Φρύνιχος ὁ παλαιὸς ποιητὴς, ὅ, τε κωμικὸς καὶ ὁ τραγικὸς, ἐν πολλοῖς φαίνονται χρώμενοι τοῖς τοιούτοις. καὶ ταῦτα μέντοι, ὅτε εἰσὶν ἐπίμικτα, ἀνακλώμενα ὀνομάζονται, καὶ γαλιαμβικὰ [2]) καὶ μητρωακά. καὶ γαλιαμβικὰ μὲν, διὰ τὰ πολλοὺς, αἵτινες ἱεροῖς [3]) ἦσαν τῆς Δήμητρος, τῷ τοιούτῳ μέτρῳ πρὸς ὕμνον τῆς τῶν θεῶν μητρὸς χρῆσθαι· διὰ ταῦτα γὰρ καὶ μητρωακά. ἢ παρ᾽ ὅσον ἀνειμένον καὶ ἔκλυτον τὸ ἐπίμικτον ἐστὶν ἰωνικόν. καὶ οἱ Γαλοὶ [4]) δὲ, οἵ εἰσιν ἔθνος τι, τοιοῦτοι μαλακοὶ, καὶ θήλειαν νόσον ἔχειν διαβαλλόμενοι. ἀνακλώμενα δὲ διὰ τὴν αἰτίαν, ἣν εἴραμεν ἀνωτέρω, παρ᾽ ὅσον ὁ ἐν τοῖς τοιούτοις ῥυθμὸς ἀνακλᾶται πρὸς τὸ χαῦνον καὶ μαλακόν. ἔνδοξά εἰσι καὶ ἀκατάληκτα τετράμετρα, ἃ μιᾷ συλλαβῇ τῶν προκειμένων ἐπῶν περιττεύουσι. Σαπφώ τε γὰρ κέχρηται τούτοις καὶ Ἀλκμὰν καὶ Ἀλκαῖος ὁ ποιητὴς, καὶ πέρα μὲν τούτων οὐχ εὕρεταί [5]) τις τῶν ἡμῶν γνωρίμων χρώμενος τοῖς ἀπ᾽ ἐλάσσονος ἰωνικοῖς. εἰ δ᾽

1) sic. 2) sic. 3) sic. 4) sic. 5) sic.

εἰσὶν, ὥς τινες φασὶ, καὶ πεντάμετρα, ἐκ τῶν ῥηθέντων ἂν κακεῖνα οὐκ ἀγνοήσαιμεν.

Περὶ παιωνικοῦ.

Τὸ παιωνικὸν καλούμενον μέτρον τοῖς παλαιοῖς καὶ κρητικὸν ὀνομάζεται· ἐκ κρητικῶν γὰρ ὅλων ποδῶν σύγκειται ἐνιοτε. κρητικὸς δὲ ἐστὶν πούς ὁ καὶ ἀμφίμακρος λεγόμενος, ὡς καὶ ἐν ἄλλοις προείπομεν, ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς συλλαβῆς. τούτου του κρητικοῦ εἰ μὲν ἡ τελευταία μακρὰ λυθείη εἰς δύο βραχέα, ποιεῖ τὸν καλούμενον α̅ παίωνα, ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν, οἷον ἐχθρότατος· εἰ δ' ἡ πρώτη μακρὰ λυθείη εἰς β' βραχέα, τὸν λεγόμενον τέταρτον παίωνα ποιεῖ, τῶν 1) ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς, οἷον φιλολόγοι. τέσσαρες γὰρ εἰσὶν οἱ παίωνες τετρασύλλαβοι· ὁ α̅ ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν· ὁ β̅ ἐκ βραχείας καὶ μακρᾶς καὶ δύο βραχειῶν, οἷον ὁμώνυμος· ὁ τρίτος ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας, οἷον θεότιμος· ὁ δ̅ ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς. κρητικὸν μὲν οὖν τὸ μέτρον τοῖς παλαιοῖς, ὅπερ ἐλέγομεν, ὠνομάζετο· ἐπεὶ δὲ πολλοὶ τῶν κωμικῶν τε καὶ τραγικῶν, ἐξαιρέτως δὲ καὶ ὁ Ἀριστοφάνης, τοῦ κρητικοῦ τὴν διάλυσιν ἐποιήσαντο, πρῶτον ἢ τέταρτον παίωνα, καὶ ὡς ἐπὶ τὸ πολὺ ὡς πρῶτον, παιωνικὸν ὀνομάσθη 2) διὰ τοῦτο. ἔνιοι δὲ τῶν παλαιῶν μετρικῶν καὶ αὐτοῦ τοῦ τετάρτου παίωνος, ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς, τὰς β' βραχείας 3) συλλαβὰς, τὴν δευτέραν φημὶ καὶ τὴν τρίτην, εἰς μίαν συναιροῦντες μακρὰν, ἐκ

1) sic. 2) sic. 3) sic.

βραχειῶν τὸ παιωνικὸν μέτρον προσέθηκαν. βακχεῖος γάρ ἐστι πούς ὁ ἐκ βραχείας καὶ δύο μακρῶν, οἷον νοήμων. τινὲς δὲ καὶ τοῦ πρώτου παιωνικοῦ τὴν β' καὶ τρίτην συλλαβὴν, αἵ εἰσὶ βραχεῖαι, εἰς μίαν μακρὰν συναιροῦντες, ἐκ παλιμβακχείων τὸ παιωνικὸν μέτρον συνέθηκαν. παλιμβάκχειος γάρ ἐστι πούς ὁ ἐκ β' μακρῶν καὶ βραχείας, οἷον τὸ εὐκταῖσιν. πλὴν σπᾶνιον τὸ ἐκ παλιμβακχείων παιωνικὸν, καὶ, ὡς ὁ Ἡφαιστίων αὐτὸς φησὶ, ἀνεπιτήδειον. τῶν δὲ λοιπῶν ἐνδοξότατον μὲν καὶ πολυθρυλλητότατον τὸ ἐκ πρώτων παιώνων, ᾧ δὴ καὶ Ἀριστοφάνης κατακόρως κέχρηται· οὗ δὴ καὶ ἡμεῖς εἰς παράδειγμα τοὺς τρεῖς ἐξαρχῆς τεθείκαμεν στίχους. καὶ τὸ ἐξ ὅλων κρητικῶν ποδῶν ἐπίσημόν ἐστι τοῖς παλαιοῖς· οὗ εἰς ἔνδειξιν ἓν ἔπος καὶ ἡμεῖς ἐπάγομεν. τὸ δ' ἐξ ὅλων βακχείων ποδῶν ὡς ἐπ' ἔλαττον εὑρίσκεται τοῖς παλαιοῖς. ὅμως μέντοι εἰς ὑπόδειγμα καὶ τούτου ἕνα στίχον ἐξεθέμεθα τὸν τελευταῖον. δύναται δὲ τὸ μέτρον τοῦτο, ὡς Ἡφαιστίων λέγει, καὶ μέχρι πενταμέτρου καὶ ἑξαμέτρου προκόπτειν. εἰσὶ δὲ καὶ ἐν τούτῳ τῷ μέτρῳ καταληκτικά τε καὶ ἀκατάληκτα καὶ ὑπερκατάληκτα. βραχυκατάληκτα γὰρ ἴσως, ὡς οἱ πρὸ ἡμῶν μετρικοί φασιν, οὐ δεῖ ζητεῖν ἐν τῷδε τῷ μέτρῳ· ἐπὶ γὰρ τῶν κρητικῶν οὐδὲ ἐγχωρεῖ ὅλως. δίμετρον μὲν καταληκτικὸν παιωνικὸν, οἷον τὸ, στρατὸν ἀπερείσιον. μονόμετρον γὰρ, οἶμαι, οὐ δεῖ ζητεῖν ὅλως οὐδ' ἐπὶ τούτῳ τῷ μέτρῳ, ὡς οὐδ' ἐν τοῖς ὄπισθεν τοῖς ἐκ τετρασυλλάβων ποδῶν ἔπεσιν, ἵνα μὴ συνεμπίπτωσι τοῖς ἐκ δισυλλάβων ποδῶν. κρητικὸν δὲ δίμετρον καταληκτικὸν τὸ, ῥῦσί' ἴασαί μι. ὁμοίως καὶ τὸ βακχειακὸν δίμετρον ἀκατάληκτον, παιωνικὸν μὲν, τὸ, αἰὲν ὀλο-

ὄφρονά γε· κρητικὸν δὲ, τὸ, ῥύσι᾽ ἄσαιμί σοι. ὑπερκατάληκτον δὲ δίμετρον, παιωνικὸν μὲν πάλιν, τὸ, τάρταρον ἐς εὐρέα βάλοις· κρητικὸν δὲ, ἵνα τοι ῥύσι᾽ ἄσαιμι. καὶ δίμετρα μὲν ταῦτα. τρίμετρα δὲ, καταληκτικὸν μὲν παιωνικὸν, τάρταρον ἐς εὐρέα βαλοῖσ᾽ ἐμεῦ· κρητικὸν δὲ, ἵνα τοι ῥύσι᾽ ἄσαιμι. ἀκατάληκτον δὲ τρίμετρον, παιωνικὸν μὲν πάλιν, αἰὲν ὀλοόφρονα πονηρότατον· κρητικὸν δὲ, ῥύσι᾽ ἄσαιμι σωθεὶς βρόχου. ὑπερκατάληκτον τρίμετρον, παιωνικὸν μὲν, τάρταρον ἐς εὐρέα βαλοῖσ᾽ ἐμεῦ ἄπο· κρητικὸν δὲ, ἵνα τοι ῥύσι᾽ ἄσαιμι σωθείς. καὶ τρίμετρα μὲν ταῦτα. τετράμετρον δὲ πάλιν καταληκτικὸν παιωνικὸν ἕκαστόν τῶν προκειμένων τριῶν ἐπῶν· ἃ δὴ καὶ ἐπισημότατα εἰσὶν, ὡς ἔφαμεν. διὰ τοῦτο γὰρ καὶ ἡμῖν εἰς παράδειγμα παρελήφθησαν. κρητικὸν δὲ, οἷον τὸ, ἵνα τοι ῥύσι᾽ ἄσαιμι σωθεὶς βρόχον γε. ὁμοίως δὲ καὶ πεντάμετρα καὶ ἑξάμετρα κρητικά. τὸ ὅλον δὲ τὸ, ἵνα τοι ῥύσι᾽ ἄσαιμι σωθεὶς βρόχου ἀντιπάλων, τοῦ Ἀλκμᾶνος ὠνόμασται, ὅτι πολλῷ ἐχρήσατο τῷ τοιούτῳ μέτρῳ Ἀλκμὰν, ὥσπερ καὶ Βακχυλίδης. ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἡμεῖς μὲν καθαρῶν παιωνικῶν τε καὶ κρητικῶν καὶ βακχειακῶν τεθείκαμεν παραδείγματα· ἔνιοι δὲ τῶν παλαιῶν ποιητῶν συμπλέκουσι τοῖς παιωνικοῖς καὶ πόδας κρητικοὺς, ὥσπερ δὴ ἐνίοτε καὶ βακχειακούς. τὰ μέντοι ἐξαίρετα ταῦτα εἰσὶ, τὰ εἰς ὑποδείγματα ἡμῖν ἐκτεθέντα. ἔσχατον μέντοι καὶ τὸ παιωνικὸν τέτακται μέτρον τοῖς παλαιοῖς μετρικοῖς, καὶ δὴ καὶ ἡμῖν, παρόσον μονότατόν ἐστι καὶ οὐδενὶ τῶν πρὸ αὐτοῦ μέτρων ἐπιπλεκόμενον, ἢ οἰκειούμενον, ὡς τὰ ἰωνικὰ καὶ ἀλλήλοις, καὶ τὸ χοριαμβικὸν, καὶ τὸ ἀντισπαστικὸν, καὶ τὰ λοιπὰ, ὡς

προείπομεν. καὶ περὶ μὲν τῶν ἁπλῶν καὶ ἀμίκτων μέτρων τοσαῦτα.

Heic definit Trichae Tractatus *περὶ μέτρων* in Cod. Bibliothecae Venetae. In Cod. tamen Abbatiae Florentinae, nunc Laurentiano, ſequitur immediate:

Περὶ τοῦ ἡρωϊκοῦ μέτρου.

Ἐγράφη δὲ ἐκ παλαιοῦ βιβλίου.

Τὸ ἡρωϊκον μετρον δακτυλικόν ἐστι κατὰ γένος. εἰδικῶς δὲ καλεῖται ἡρωϊκὸν, ἢ διὰ τὸ τοῦ ἑξαμέτρου ἐντελέστερον, καὶ τῶν ἄλλων τομῶν σεμνότερον, οἷον δίμετρον καὶ τρίμετρον καὶ τῶν τοιούτων, ἢ διὰ τὸ τὸν ποιητὴν τὰ τῶν ἡρώων διηγούμενον τούτῳ μάλιστα χρήσασθαι. ὡς ἂν δὲ καὶ ὀνομάζοιτο, κατὰ τὴν τοῦ γένους, ὃ ἐστὶ δακτυλικὴν, παρατήρησιν μετρεῖται. εἰ δὴ οὖν τὸ δακτυλικὸν μέτρον δακτύλῳ καὶ σπονδείῳ ποδίζεται καὶ ῥυθμίζεται, λοιπὸν ἂν εἴη καὶ τὸ ἡρωϊκὸν τοῖς αὐταῖς, ὡς εἶδος, ποσὶ συντίθεσθαι. κἂν γάρ τισιν ὁ τελευταῖος πους ἔστιν ὅτε εἰς [1]) μακρᾶς καὶ βραχείας συγκείμενος συλλαβῆς τροχαῖος δοκεῖ ἢ δάκτυλος καταληκτικὸς, ἀλλὰ τὸ ὅτι σπονδεῖος καὶ οὗτος ἐστὶν, ἀδιαφόρου τῆς τελευταίας δεχομένης συλλαβῆς ὡ κοινῆς συλλαβῆς. τὸ γὰρ ἡρωϊκὸν μέτρον οὐδέποτε καταληκτικόν ἐστι, ἀλλὰ τέλειόν τε καὶ ἀκατάληκτον. τροχαῖον δὲ πῶς ἐστὶ δυνατὸν ἐν συνθήκῃ δακτυλικῇ λαβεῖν, καὶ μάλιστα κατὰ τοῦτο ἑξάμετρον καὶ ἡρωϊκὸν εἶδος; ἔγγως μὲν αὐ τοίνυν τούτου ὡς μόνοις δακτύλῳ καὶ σπονδείῳ ποδίζεται τὸ ἡρωϊκὸν, καὶ τούτοις, ὡς ἔτυχε, συγκειμένοις, διὰ

1) ſic.

τὸ ἰσοχρόνους εἶναι καὶ ἄμφω καὶ μηδεμίαν διαφορὰν ἐν τούτοις εὑρίσκεσθαι, ἑξῆς περὶ τῶν λοιπῶν εἴπωμεν. ἔστι μὲν γὰρ ἑξάμετρον ἐντελὲς καὶ ἀκατάληκτον, οὐκ ἀεὶ δὲ ἀπαθὲς, ἀλλ'[1]) ἐπιδεχόμενον ἐνίοτε καὶ πάθη, περὶ ὧν μετ' ὀλίγον εἰρήσεται. ἀλλ' ἑξάμετρον μὲν ἐστὶ διὰ τὸ κατὰ μονοποδίαν μετρεῖσθαι. ἔχει δὲ πόδας ἓξ, ὥστε καὶ ἑξάμετρον, ἐντελὲς δὲ εἴρηται διὰ τὰ μὴ προχωρεῖν πέρα τοῦ ἑξαμέτρου μήτε τὸ ἡρωϊκὸν, μήτε ἄλλο μέτρον. καθάπαξ γὰρ καὶ συλλαβὴ καὶ λέξις καὶ πους καὶ μέτρον μέχρι τοῦ ἓξ προέκοψαν διὰ τὸ τοῦ ἀριθμοῦ τέλειον. συλλαβὴ μὲν, ὡς στράγξ· λέξις δὲ, ὡς τὸ Ἀγαμεμνονίδης· πους δὲ, ὡς τὸ διβακχεῖος, καὶ δισανάπαιστος, καὶ οἱ ὅμοιοι· μέτρον δὲ, ὡς τὸ ἡρωϊκὸν, καὶ ἄλλα. ἀκατάληκτον δὲ εἴρηται, ἤγουν ἀνελλιπὲς, πρὸς ἀντιδιαστολὴν βραχυκαταλήκτων καὶ καταληκτικῶν καὶ ὑπερκαταλήκτων. ἀλλ' ἵνα μηδὲ περὶ τούτων ἀγνοεῖς, βραχυκατάληκτον μὲν ἐστι κῶλον τὸ ὅλῳ ποδὶ λειπόμενον. πλὴν τὸ βραχυκατάληκτον ἐν τοῖς κατὰ διποδίαν μετρουμένοις εὑρίσκεται, οἷον ἰαμβικοῖς καὶ τροχαϊκοῖς καὶ ἀναπαιστικοῖς, ὅταν δηλαδὴ ὑποθώμεθα μὲν εἶναι τὸ κῶλον τρίμετρον, ἤγουν ποδῶν ἓξ, καὶ ἔχῃ μόνους πέντε πόδας, λειπόμενον ὅλου τοῦ ἕκτου ποδὸς, οἷον ἐστὶν ἐν ὑποθήσει τὸ, ἐν ἡμέραις ϛ' τὴν κτίσιν κτίζεις. τοῦτο γὰρ εἰ μέχρι τούτου κολοβωθῇ, ἰαμβικόν ἐστι τρίμετρον βραχυκατάληκτον, λειπόμενον ὅλου ποδὸς τοῦ ἕκτου. καὶ βραχυκατάληκτον μὲν λέγεται τὸ τοιοῦτον. καταληκτικὸν δὲ ἐστὶ τὸ λειπόμενον ἡμίσεος μόνου ποδὸς, ὃ καὶ ἐν ταῖς κα-

1) sic,

τὰ διποδίαν μετρουμένοις, καὶ ἐν τοῖς κατὰ μονοποδίαν εὑρίσκεται. ἀκατάληκτον δὲ ἐστὶ τὸ μηδενὸς λειπόμενον. ὑπερκατάληκτον δὲ τὸ περιττεῦον ἡμίσει ποδός. καὶ περὶ μὲν τούτων τοσαῦτα, εἰ καὶ ἐν στενῷ κομιδῇ. ἑξῆς δὲ περὶ παθῶν ἐστὶ διαλαβεῖν.

Τὸ δὲ πάθος ἢ κατὰ περιττότητα γίνεται συλλαβῆς, πάντως ἐν μόνῳ φωνήεντι συναιρουμένης διὰ μετρικὴν ἀνάγκην, ὡς ἀποκαθίστασθαι τὰς β' συλλαβὰς εἰς μίαν, καὶ ποιεῖ τὴν λεγομένην συνίζησιν, ἢ διαστολὴν χρονικὴν, ἣν ἄλλως διορθοῦται ἡ κοινὴ συλλαβή. ἀλλ' ἐπεὶ πάντα στίχον εἰς τρία διαιροῦμεν, εἴς τε κεφαλὴν δηλαδη καὶ οὐρὰν καὶ κοιλίαν, καὶ ἔστι κεφαλὴ μὲν, ὁ μόνος καὶ πρῶτος ποὺς τοῦ στίχου, οὐρὰ δὲ μόνος ὁ τελευταῖος, κοιλία δὲ οἱ ἐν τῷ μεταξὺ τέτταρες πόδες· εἰ μὲν ἐν τῇ κεφαλῇ συμβαίη τὶ μετρικὸν πάθος, εἰ μὲν κατὰ συλλαβὴν περιττότητα, ποιεῖ πάθος τὸ λεγόμενον προκεφάλαιον, οἷον, ἕως ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν. συνιζήθη γὰρ, ὅ ἐστὶ συνεκράθη, τὸ ε μετὰ τοῦ ως, καὶ λογίζονται αἱ δύο συλλαβαὶ ἀντὶ μιᾶς. τινὲς δὲ καὶ τὴν χρονικὴν περιττότητα διορθουμένην ὑπὸ τῆς κοινῆς συλλαβῆς τῇ εἰρημένῃ συνιζήσει συνέταξαν, οἷον, οἱ δ' ἐπεὶ οὖν ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο. καὶ προκεφάλου μὲν παράδειγμα τόδε ἢ τάδε. εἰ δ' ἐν τῇ κοιλίᾳ τοῦ στίχου ἡ τοιαύτη περιττότης συμβῇ, πάθος ποιεῖ τὸ λεγόμενον προκοίλιον, οἷον, μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλλῆος. συνιζάνεται γὰρ τὸ ε μετὰ τοῦ λη, καὶ λογίζονται αἱ δύο συλλαβαὶ ἀντὶ μιᾶς, ἢ συνιζάνεται τόδε μετὰ τοῦ ω, καὶ γίνεται αὖθις τὸ αὐτό. περιττότητος δὲ χρονικῆς ἐν κοιλίᾳ παράδειγμα τὸ, οὐκ ἔθελον δέξασθαι,

ἐπὶ πολὺ βούλομαι αὐτήν· ἐνταῦθα γὰρ καὶ τὸ ξασθαι ε εἰς δάκτυλον λαμβάνεται. ὁμοία καὶ τὸ βούλομαι, διὰ τὸ ἀεὶ τὰ μακρὰ φωνήεντος ἐπιφερομένου κατὰ διάστασιν τοῦ μέρους τοῦ λόγου καὶ ἀντὶ βραχέων λογίζεσθαι. εἰ δὲ ἐν τῷ τέλει τοῦ στίχου, ὅπερ οὐρὰν ἔφημεν, ἡ περιττότης τοῦ στίχου γένηται, δολιχόουρον τὸ τοιοῦτον πάθος καλεῖται. ἐκ τοῦ ἐναντίου δὲ αὖθις ἡ χρονικὴ συστολὴ, εἰ μὲν κατὰ τὸν α̅ πόδα γένηται, ἀκέφαλον τὸ πάθος καλεῖται, οἷον, ἐπειδὴ νῆας τὲ καὶ Ἑλλήσποντον ἵκοντο. ἐνταῦθα γὰρ τὸ ε̅ μακρὸν λαμβάνεται διὰ τὸ ἐν ἀρχῇ εἶναι λέξεως καὶ κώλου, καὶ βοηθεῖσθαι οὕτως ὑπὸ τῆς κοινῆς συλλαβῆς. ἂν μέντοι κατὰ τὴν κοιλίαν τὸ τοιοῦτον εὑρεθῇ πάθος, λαγαρὸς τηνικαῦτα ὁ στίχος καλεῖται. εἰ δὲ κατὰ τὸ τέλος, μείουρος. παράδειγμα μειούρου τὸ, Τρῶες δ᾽ ἐῤῥίγησαν, ἐπεὶ ἴδον αἰόλον ὄφιν. ἐνταῦθα γὰρ τὸ ο̅ μακρὸν λαμβάνεται· διορθοῦται δὲ διά τε τὸν τόνον ὀξύνοντα καὶ τὸ ἐπαγόμενον δασὺ σύμφωνον. καθόλου δὲ τὰς χρονικὰς συστολὰς ἢ διὰ τὸ λήγειν εἰς μέρος λόγου διορθούμεθα, ὡς τὸ, ἕως ὃ ταῦθ᾽ ὥρμαινε· τὸ γὰρ ο̅ μακρὸν λαμβάνεται διὰ τὸ λήγειν εἰς μέρος λόγου· ἅμα δὲ καὶ διὰ τὴν ὀξεῖαν τάσιν καὶ τὸ δασὺ πνεῦμα. καὶ ἀμετάβολον δὲ ἐπαγόμενον ὁποιονοῦν τῶν τεσσάρων, καὶ δασὺ σύμφωνον ὁποιονοῦν τῶν τριῶν κοινὴν ποιεῖ τὴν συλλαβήν. κοινὴν δὲ λεγω τὴν ἀντιδιῃρημένην τῇ μονήρει. ἡ μὲν γὰρ ἐνὶ μόνῳ χρόνῳ ὑπόκειται, ἢ τυχὸν τῷ μακρῷ, ἢ τὸ βραχύ. ἡ δὲ κοινὴ συλλαβὴ διὰ τοῦτο κοινὴ λέγεται, διὰ τὸ δύνασθαι καὶ ἀντὶ τῶν δύο λαμβάνεσθαι χρόνων. ἀλλὰ τὰ μὲν, κατὰ συστολὴν χρόνου, τόνδε τὸν λόγον διορ-

θωτέον ἐστίν. εἰ δέ που τύχῃ μακρὰ συλλαβὴ, διορθοῦται καὶ αὐτὴ κατὰ λόγον ἕτερον. ἢ γὰρ ἐπαγόμενον φωνῆεν βραχύνει τὴν δοκοῦσαν μακρὰν, ὡς τὸ, βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι, καὶ ὡς τὸ, εἰ δ' ἐθέλεις, ἕτερόν τι ἐγὼ λόγον ἐκκορυφώσω, καὶ μυρία μυριαχοῦ. ἢ ἐὰν τὰ δοκοῦντα ἐκτείνει δύο σύμφωνα, καὶ ἀμφότερα ἄφωνα ὦσιν, ὡς τὸ Ὁμηρικὸν, Θήβας Αἰγυπτίας. καὶ γὰρ καὶ τὸ π καὶ τὸ τ ἄφωνά εἰσι, καὶ ἀντὶ ἑνὸς ἡμιφώνου τυχὸν ἀμεταβόλου λαμβάνεται. ἢ ἐὰν μὴ ὅλως πέφυκεν ἡ λέξις εἰς σπονδεῖον ἢ εἰς δάκτυλον εἰσέρχεσθαι. τηνικαῦτα γὰρ αὐτοδιόρθωτός ἐστιν εἴτε εἰς δάκτυλον εἴτε μὴν εἰς σπονδεῖον εἰλημμένη διὰ τὸ ἄπορον. ἡνίκα γὰρ βραχεῖα μὲν ἐστὶ ἡ ᾱ συλλαβὴ τῆς λέξεως, ἡ δὲ μετὰ ταῦτα μακρὰ, ἄρχεται δὲ ἡ λέξις ἢ ἀπὸ δύο συμφώνων, ὡς τὸ, Σκαμάνδρειον καὶ Σκάμανδρος, ἢ ἀπὸ διπλοῦ συμφώνου, ὡς τὸ, Ζέλεια καὶ τὰ ὅμοια, τηνικαῦτα παρ' αὐτὸ μόνον τὸ ἄπορον ἡ διόρθωσις γίνεται. ἰστέον δὲ, ὡς οὐ παραλόγως καὶ κατὰ ἄνευ λόγον[1]) ἄδειαν ποιητικὴν, ὥς τινες λέγουσι, τὰ τοιαῦτα γίνεται, ἀλλὰ κατὰ λόγον μετρικὸν, μουσικὸν καὶ φιλόσοφον. εἶδος γὰρ μουσικῆς καὶ ἡ μετρικὴ, ὥσπερ καὶ ἡ ῥυθμικὴ καὶ ἡ ἁρμονικὴ, περὶ ὧν μετὰ εὐτάκτου τῆς ἀποδόσεως καὶ σαφοῦς εὐκρινείας καὶ διευλυτώσεως[2]), θεοῦ διδόντος, εἰρήσεται, ἡνίκα καὶ περὶ μόνου τοῦ ἡρωϊκοῦ, ἀλλὰ καὶ τῶν λοιπῶν τομῶν καὶ εἰδῶν τοῦ δακτυλικοῦ, καὶ οὐ τούτου μόνον, ἀλλὰ καὶ τῶν λοιπῶν ὀκτὼ μερῶν καὶ τῶν ἐκείνων τόμων καὶ εἰδῶν εὐκαίρως μοι σὺν θεῷ τεχνολογηθήσεται.

1) sic. 2) sic.

Περὶ τόμων.

Ὅτι τὸ δακτυλικὸν οὐκ ἔχει μονόμετρον, ἀλλ' ἀπὸ τοῦ διμέτρου ἄρχεται, καὶ καταντᾷ μέχρι τοῦ ἑξαμέτρου, μετρεῖται δὲ κατὰ μονοποδίαν. ὅτι καταληκτικὰ τὸ δακτυλικὸν καὶ εἰς μονοσυλλαβίαν καὶ εἰς δισυλλαβίαν, ὑπερκατάληκτα δὲ καὶ βραχυκατάληκτα οὐκ ἔχει. ὅτι καταληκτικὸν εἰς συλλαβὴν οὐχ εὑρηται ἐν τῷ διαμέτρῳ τρίμετρον καταληκτικὸν εἰς συλλαβὴν, τὸ πενθημιμερὲς καὶ ἀρχιλόχειον τετράμετρον καταληκτικὸν εἰς συλλαβὴν σημίειον λέγεται.

Περὶ τοῦ αἰολικοῦ δακτυλικοῦ.

Ὅτι αἰολικὸν δακτυλικόν ἐστι τὸ κατὰ τὴν ᾱ χώραν ἔχον πόδα δισύλλαβον οἱονοῦν καὶ τὴν κατακλεῖδα ὡσαύτως, τοὺς δὲ μέσους ἀδιαφόρους, σπονδεῖον καὶ δάκτυλον. ὅτι αἰολικὸν δακτυλικὸν πεντάμετρον ἀκατάληκτον σαπφικὸν τέσσαρες καὶ δεκασύλλαβον ὀνομάζεται.

Περὶ τοῦ λογοαοιδικοῦ.

Ὅτι λογοαοιδικὸν καὶ δακτυλικόν ἐστι, τὸ καταρχὰς μὲν δακτύλους ἔχον β', ἢ γ', ἢ δ', ἐν τῷ τέλει δὲ τροχαίους β' ἢ ἕνα. τὸ μὲν οὖν τρίμετρον τούτων, ἀλκαϊκὸν καλεῖται, οἷον, καὶ θεὸν ἀμερίοις βροτοῖσι. πραξίλλεια δὲ τετράμετρα, μιαν κατα τὸ τέλος διποδίαν τροχαϊκὴν ἔχοντα, οἷον, ἀνιδεον θεότητα λόγοισιν ἄμμιν.

Περὶ τοῦ ἀναπαιστικοῦ.

Ὅτι τὸ κύριον ἀναπαιστικὸν ἀνάπαιστον δέχεται καὶ σπονδεῖον, σπανίως καὶ προκελευσματικόν,

ἀδιαφόρους δὲ τούτους. τὸ δὲ αἰολικὸν ἀναπαιστικὸν, ἴαμβον μόνον ἐν τῇ ἀρχῇ. τὸ δὲ λογαοιδικὸν ἀναπαιστικὸν, ἐπὶ τέλει ἴαμβον καὶ συλλαβὴν μακράν. ὅτι δέχεται τὸ ἀναπαιστικὸν καὶ δάκτυλον σπανίως. ἔχει δὲ ἀποθέσεις ἕξ, βραχυκατάληκτον, καταληκτικὴν εἰς συλλαβὴν, καταληκτικὴν εἰς δισυλλαβίαν, ἀκατάληκτον, ὑπερκατάληκτον εἰς συλλαβὴν, ὑπερκατάληκτον εἰς δισυλλαβίαν. ὅτι κατὰ διποδίαν μετρεῖται τὸ ἀναπαιστικόν. ὅτι τὸ δίμετρον καταληκτικὸν εἰς δισυλλαβίαν παροιμιακὸν καὶ ἐφθημιμερικὸν καλεῖται. τὸ τρίμετρον καταληκτικὸν εἰς συλλαβὴν σιμμιακὸν καλεῖται. ὅτι τὸ τετράμετρον καὶ εἰς συλλαβὴν καταληκτικὸν ἀριστοφάνειον καλεῖται. λογαοιδικὸν δὲ ἀναπαιστικὸν τὸ καὶ ἀρχεβούλειον τόδε, μόρον οὐ νοέοντες ἐφιστάμενον κατάντην, ἤγουν τὸ ἔχον τέσσαρας ἀναπαίστους, ἴαμβον ἕνα καὶ μακρὰν συλλαβήν. τὸ αὐτὸ καὶ καλιμάχειον. ἔστι δὲ τρίμετρον τόδε λογαοιδικὸν ἀναπαιστικὸν καταληκτικὸν εἰς συλλαβήν.

Περὶ χοριαμβικοῦ.

Τὸ χοριαμβικὸν, εἰ μὲν ἐκ μόνων χοριάμβων, καθαρόν· εἰ δὲ καὶ ἐξ ἰάμβων, ἢ δύο, ἢ ἑνὸς, ἐπίμικτον. ἀποθέσεις ἔχει τρεῖς, καταληκτικὸν, ἀκατάληκτον, ὑπερκατάληκτον. ὅτι τὸ χοριαμβικὸν καὶ τετράμετρα τ' ἄλλα κατὰ μονοποδίαν μετρεῖται. ἄρχεται δὲ ἀπὸ διμέτρου. τὰ πεντάμετρα καταληκτικὰ καλλιμάχεια λέγονται. εἰσὶ δὲ καὶ ἑξάμετρα, ἅπερ Φιλίκος καὶ Σιμμίας γράφουσι. ὅτι τῷ ἐπιμίκτῳ διμέτρῳ Ἀνακρέων καὶ Ἀριστοφάνης χρῶνται. ὅτι καὶ τὸ χοριαμβικὸν καὶ τὸ ἀντισπαστικὸν τὸν ἴαμβον δέχονται κατὰ κλεῖδα.

Περὶ τοῦ ἀντισπαστικοῦ.

Ὅτι τὸ μὲν ἀντισπαστικὸν καθαρὸν ἐκ μόνων τῶν ἀντισπάστων, τὸ δὲ μικτὸν καταρχὰς τρέπεται εἰς τὰ τέσσαρα εἴδη τῶν δισυλλάβων, καὶ δέχεται ἐπὶ τέλους ἴαμβον· ὃ καὶ ἀνακρεόντειον καὶ γλυκώνειον καλεῖται. ὅτι οὐκ ἔχει τὸ ἀντισπαστικὸν μονόμετρον, εἰ μὴ μόνον ὑπερκατάληκτον· ὃ καὶ δοχμιακὸν λέγεται καὶ πενθημιμερὲς, ἀπὸ ἔθνους. δοχμιακὸν δίμετρον καταληκτικὸν, τὸ καὶ φερεκράτειον, τόδε, πολεῦντος πότνιά μευ. ἐχρήσατο τούτῳ καὶ Κορίννα. δίμετρον ἀκατάληκτον, σύμμετρον, ἀνακρεόντειον καὶ γλυκώνειον, τόδε, ἤ ὄρφναις μὲν ἀφεγγέσι. δίμετρον ὑπερκατάληκτον, τὸ σαπφικὸν καὶ ἱππονάκτειον, τόδε, λύοισα δνοφερὰν κνέφαος. τρίμετρον καταληκτικὸν, τὸ καὶ φαλαίκειον, ὅπερ ἐξ ἑνὸς μόνου ἀντισπάστου, τῶν δὲ ἄλλων ἰάμβων, τόδε, λύοισα δνοφερὰν κνέφαος ὁρμάν. τὸ ἀκατάληκτον δὲ τρίμετρον, ὅταν τὴν τελευταίαν μόνην ἔχει ἰαμβικὴν, τὰς δὲ δύο ἀντισπαστικὰς, ἀκληπιάδειον[1]) λέγεται. χρῆται δὲ τῷ τοιούτῳ μέτρῳ καὶ Ἀλκαῖος. ἀκατάληκτον τετράμετρον ἐστὶ τὸ, πολεῦντος πότνιά μευ παρομάτευ[2]) ἐπίκουρος εὖ δή. μόνον τὴν τελευταίαν διποδίαν ἰαμβικὴν ἔχει, τοὺς πρὸ αὐτοῦ δὲ πόδας ἀντισπάστους. σαπφικὸν δὲ ὀνομάζεται ἑκκαιδεκασύλλαβον καὶ ἀλκαϊκόν. τετράμετρον ὑπερκατάληκτόν ἐστι, τὸ, ὀδῷ δ' εἰν ἀβάτῳ καὶ παρ' ἐρήμαισιν ὤν. τοῦτο σιμμιακὸν ὀνομάζεται. τοῖς δὲ ἀκαταλήκτοις πενταμέτροις Ἀλκαῖος χρῆται.

1) sic. 2) sic.

Περὶ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος.

Ὅτι τὸ καθαρὸν ἰωνικὸν τὸ ἀπὸ μείζονος κατὰ πᾶσαν χώραν τὸ ἰωνικὸν δέχεται, ἐν δὲ ταῖς ἀρτίαις καὶ τὸν μολοσσόν. ὅτι τὸ ἰωνικὸν ἀπὸ διμέτρου, καὶ ἕως εἰς τὰ πεντάμετρα. ἀποθέσεις δὲ ἔχει, καταληκτικὸν, ὑπερκατάληκτον, ἀκατάληκτον, βραχυκατάληκτον. μετρεῖται κατὰ μονοποδίαν. δίμετρον βραχυκατάληκτον τόδε, ἐν δ' ἀμερίῳ φωτί. καλεῖται τελεσίλειον. δίμετρον ἀκατάληκτον, χ' ὡς παῖς πόκα πότνια σέθεν. καλεῖται δὲ κλεομάχειον. δίμετρον ὑπερκατάληκτον, καὶ λάβρον ἐρύκοισα νειφῶν. ὅτι τὸ τρίμετρον βραχυκατάληκτον πραξίλλειον καλεῖται καὶ σαπφικόν. ἰστέον δὲ, ὅτι ἐν τῷ τοιούτῳ τριμέτρῳ βραχυκαταλήκτῳ ἡ εἰρημένη Πραξίλλεια καὶ ἡ Σαπφὼ ἀντὶ τοῦ δευτέρου ποδὸς τροχαϊκὴν τιθέασι διποδίαν. τετράμετρον βραχυκατάληκτον τόδε, χ' ὡς παῖς πόκα σὸς ἐφ' ὕμμιν τερατουργεῖς. λέγεται δὲ σωτάδειον. ἰστέον, ὅτι τὰ τετράμετρα ἀκατάληκτα διχῶς συντιθέασιν Αἰολεῖς· ἢ γὰρ δυσὶν ἰωνικοῖς δύο τροχαῖ[1]) ἐπάγουσι διποδίαν, ἢ τρισὶν ἰωνικοῖς τροχαϊκὴν διποδίαν μίαν. τοῦ δευτέρου παράδειγμα τόδε, ἐν δ' ἀμερίῳ φωτὶ φλέγοισαν ζέσιν ἡλίου με. αἰολικὴ δὲ λέγεται διὰ τὸ τὴν Σαπφὼ τούτοις χρήσασθαι αἰολικῶς γράφουσαν.

Περὶ ἰωνικοῦ τοῦ ἀπ' ἐλάσσονος.

Ὅτι καὶ τὸ ἀπ' ἐλάσσονος καθαρὸν ἰωνικὸν ἐν πάσῃ χώρᾳ τὸν ὁμώνυμον δέχεται ἰωνικὸν, ἐν δὲ ταῖς περιτταῖς τὸν μολοσσὸν, ἐναντίως τῆς ἀπὸ μείζονος. τὸ δὲ ἐπίμικτον ἐπὶ τέλους τροχαϊκὴν ἢ διποδίαν ἢ

1) sic.

μονοποδίαν, τὸν πρὸ τῶν τροχαίων δὲ πόδα οὐ δέχεται καθαρὸν ἰωνικὸν, ἀλλὰ παίωνα τρίτον, ὅς ἐστιν ἐκ δύο βραχέων, καὶ μακρᾶς καὶ βραχείας. ὅτι καὶ τοῦτο ἀπὸ διμέτρου ἄρχεται μέχρι πενταμέτρου. δίμετρον καταληκτικὸν, διάγοις ἀβλαβέα. λέγεται δὲ τιμοκρεόντειον. δίμετρον ἀκατάληκτον, ἀπάγοις ἐκ κακότητος. τοῦτο δὲ ὅταν συμμίγνυται τῇ τροχαϊκῇ μονοποδίᾳ, καὶ πρὸ αὐτῆς, ὡς εἴπομεν, τὸν παίωνα τρίτον δέχεται, καὶ ἀνακρεόντειον ὀνομάζεται, οἷον, κραδίην μέσην γυναῖκες ἔδραμον δύσοιστον οἶμον. ταῦτα δὲ τοῖς νεωτέροις καὶ ἄλλως ποδίζεται διὰ τὸ σαφέστερον, οἶμαι, ἤγουν ἐξ ἀναπαίστου, δύο ἰάμβων καὶ συλλαβῆς. καταληκτικὸν τρίμετρον, διάγοις ἀβλαβέα παντοδαπᾶν. τοῦτο δὲ καὶ Διονύσιος κέχρηται, τοῖς δὲ ἀκαταλήκτοις τριμέτροις Ἀνακρέων καὶ Σαπφώ. τετράμετρον βραχυκατάληκτον, διάγοις ἀβλαβέα παντοδαπᾶν ἐκ κακῶν. λέγεται καὶ ἀνακρεόντειον. ἀλλ' ὅταν ὁ μὲν ᾶ ποὺς ἰωνικός ἐστιν ἀπ' ἐλάσσονος, ὁ δὲ δεύτερος παίων, τρίτος καὶ ἑξῆς κατὰ τὸ ἔθος τῶν ἐπιμίκτων τροχαῖος καὶ σπονδεῖος, ἃ τοῦ τροχαϊκοῦ εἰσὶ, ταῦτα δὲ καλοῦσιν καὶ ἀνακλώμενα, διὰ τὸ ἀνακλᾶσθαι καὶ οἷον μαλθακίζεσθαι ἐν τοῖς τοιούτοις τὴν φωνήν. τετράμετρα ἀκατάληκτα καθαρὰ καὶ φρυνίχια καλοῦνται· καὶ ὁ κωμικὸς γὰρ Φρύνιχος, καὶ ὁ τραγικὸς ἐχρήσατο τούτοις. καὶ ταῦτα δὲ, ὅτε εἰσὶν ἐπίμικτα, ὡς ἔφαμεν, ἀνακλώμενα καλοῦνται καὶ γαλιαμβικά· καὶ μητρωακὰ δὲ λέγονται, διὰ τὸ τῇ μητρὶ τῶν θεῶν τῇ Δημήτερι ἢ τῇ Ῥέᾳ τοιούτους ὕμνους ᾄδειν. γαλιαμβικὰ δὲ ἀπὸ Γαλλῶν, οἵτινες ἔθνος εἰσὶ, κέκληται. τοῖς ἀκαταλήκτοις τετραμέτροις Σαπφὼ καὶ Ἀλκμὰν καὶ Ἀλκαῖος ἐχρήσατο.

Περὶ τοῦ παιωνικοῦ.

Ὅτι τὸ παιωνικὸν καὶ κρητικὸν λέγεται. κρητικὸς δὲ πούς ὁ ἀμφίμακρος. ὅτι ἀπὸ διμέτρου εἰς ἑξάμετρον χωρεῖ, καὶ μετρεῖται κατὰ μονοποδίαν. βραχυκατάληκτον οὐκ ἔστιν ἐν αὐτῷ. τὸ ἔνδοξον οὖν σύγκειται ἐκ πρώτων παιώνων, ᾧ καὶ Ἀριστοφάνης κέχρηται. ἐπίσημον δέ ἐστι καὶ τὸ ἐκ κρητικῶν ποδῶν συγκείμενον. τὸ δ' ἐξ ὅλων βακχείων ποδῶν ἐπ' ἔλαττον εὑρίσκεται. δίμετρον καταληκτικὸν, στρατὸν ἀπερείσιον. κρητικὸν δὲ καταληκτικὸν, ῥῦσί ἄσαιμι. βακχειακὸν δὲ, ἐραννὰν πονη. βακχειακὸν τετράμετρον καταληκτικὸν, ἐραννὰν πονησάμενος κούρα λύραν. τετράμετρον δὲ ἀκατάληκτον κρητικὸν, ἵνα τοι ῥῦσί ἄσαιμι σωθεὶς ἐκ βρόχων. τὸ δὲ ἑξάμετρον καταληκτικὸν κρητικὸν, οἷον, ἵνά τοι ῥῦσί ἄσαιμι σωθεὶς βρόχων ἀντιπάλων. καὶ ἀλκμανικὸν καλεῖται καὶ βακχυλίδιον. ἰστέον δὲ, ὅτι ἔνιοι τῶν παλαιῶν ποιητῶν συμπλέκουσι τοῖς παιωνικοῖς καὶ πόδας κρητικοὺς καὶ βακχειακοὺς ἐνίοτε.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ α̅ εἴδους τῶν Ὀλυμπίων Πινδάρου.

Τοῦ πρώτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιξ̅. ὧν τὸ α̅ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καὶ ἀπὸ Γλύκωνος γλυκώνειον καλεῖται. τὸ β̅ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καὶ ἰθυφαλικὸν ἀπὸ τοῦ Ἰθυφάλου τοῦ Διονυσίου. τὸ τρίτον χοριαμβικὸν δίμετρον καταληκτικόν. τὸ τέταρτον ἀναπαιστικὸν δίμετρον καταληκτικὸν, ὃ καὶ παροιμιακὸν, ὅτι αἱ παροιμίαι τῷ τοιούτῳ μέτρῳ ἐγράφοντο.

τὸ ε̄ ὅμοιον τῷ β̄, ἤγουν τροχαϊκὸν καὶ ἰθυφαλικὸν, πλὴν τὸν δάκτυλον ἐν τῇ τρίτῃ ἔχει καὶ οὐκ ἐν τῇ β̄. τὸ ἕκτον ὅμοιον. τὸ ζ̄ τροχαϊκὸν δίμετρον καταληκτικὸν, ὃ καὶ εὐριπίδιον καὶ ληκίθυον [1]), ὡς ἐκ τοῦ λυκιθίου [2])· τὸ γὰρ λυκίθιον, ὅπερ καὶ σίφωνα λέγομεν, ἦχον ἀποτελεῖ ἐκ τοῦ ἀνθρωπείου πνεύματος, οἷον καὶ τροχαῖος πούς. τὸ η̄ τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. τὸ θ̄ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ δέκατον ἀντισπαστικὸν δίμετρον καταληκτικόν. τὸ ἑνδέκατον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ τρισκαιδέκατον προκελευσματικὸν δίμετρον καταληκτικον. ἐχρήσατο δὲ προκελευσματικῷ διὰ τὸ ταχὺ τῆς φήμης. καὶ ἀλλαχοῦ γὰρ, νοὶ ὑπὸ γλυκυτάτω, διὰ τὸ ταχὺ τοῦ νοῦ. καὶ ἀλλαχοῦ, ὁπότ' ἐκάλεσε πατὴρ, διὰ τὸ ταχὺ τῆς κλίσεως [3]). τοιοῦτος γὰρ καὶ προκελευσματικὸς ταχύς. τὸ τεσσαρεσκαιδέκατον ὅμοιον τῷ ζ̄. τὸ ιε̄ ἐξ ἀντισπάστου καὶ παίωνος ᾱ δίμετρον ὑπερκατάληκτον. τὸ ἑκκαιδέκατον ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν, πλὴν ἡ μίξις αὐτοῦ ἀντιπαθής. τὸ ἑπτακαιδέκατον ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ὃ καὶ φαλαίκειον ἀπὸ Φαλαίκου.

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κώλων ιγ̄. ὧν τὸ ᾱ παιωνικὸν ὑπερκατάληκτον, τὸ β̄ ἰαμβικὸν πενθημιμερές. τὸ γ̄ ἀντισπαστικὸν, ἑκατέρωθεν δὲ ἔχει ἰάμβους. τὸ δ̄ ἰαμβικὸν πενθημιμερὲς, καὶ ἑξῆς πόδες ἴαμβοι τρεῖς, ὡς εἶναι τὸ πᾶν ἰαμβικὸν τρίμετρον καταληκτικόν. τὸ ε̄ παιωνικὸν τρίμετρον. τὸ ἕκτον ἀντισπαστικὸν τρί-

1) fic. 2) fic. 3) fic.

μετρον ἀκατάληκτον, συνεζευγμένον μετὰ ἰάμβων. τὸ ἕβδομον ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον, τροχαίοις μεμιγμένον. τὸ ὄγδοον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ἔνατον ἰωνικὸν ἀπὸ μείζονος δίμετρον βραχυκατάληκτον. τὸ δέκατον ἰαμβικὸν δίμετρον, ὃ καὶ ἀνακρεόντειον. τὸ ἑνδέκατον ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον· ἡ πρώτη ἀδιάφορος. τὸ δωδέκατον ἐπιωνικὸν ἐξ ἀντισπάστου τρίμετρον καταληκτικόν· ἡ κατακλεὶς τροχαῖος καὶ συλλαβή. τὸ τρισκαιδέκατον ὅμοιον τῷ τῆς στροφῆς τρίτῳ.

Περὶ τῶν κώλων τῆς στροφῆς τοῦ β΄ εἴδους.

Τοῦ β΄ εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιδ΄. τὸ πρῶτον τῆς στροφῆς περιοδικὸν, ἤτοι δύο ἴαμβοι, καὶ δύο τροχαῖοι. καλεῖται δὲ περιοδικὸν, ὅτι οὐκ ἐστὶ μέτρον τὶ εἶδος, ἢ ἰαμβικοῦ, ἢ τροχαϊκοῦ, ἢ ἑτέρου τινὸς, ἀλλ᾽ ἁπλῶς περίοδος καλεῖται τὸ ὑπὲρ ἄνω τῶν τεσσάρων συλλαβῶν σύστημα· μέχρι γὰρ τεσσάρων συλλαβῶν σύστημα. μέχρι γὰρ τεσσάρων συλλαβῶν γνώριμοι οἱ πόδες, τὸ δὲ πλέον περίοδος. τὸ β΄ ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαίων, διαλελυμένου τοῦ ᾱ εἰς τρεῖς βραχείας. τὸ τρίτον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον· πλὴν ὁ πρῶτος ἀντίσπαστος διαλύεται εἰς δύο βραχείας καὶ μακρὰν μίαν· καὶ ἡ κατακλεὶς ἰαμβική. τὸ δ΄ χοριαμβικὸν δίμετρον καταληκτικὸν ἀπὸ ἰαμβικῆς συζυγίας, ἤτοι τοῦ ᾱ σπονδείου. τὸ ε΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ὁ δεύτερος ποὺς χορεῖος. τὸ ς΄ ἀντίσπαστος καὶ συλλαβή. τὸ ζ΄ ἰωνικὸν ἀπ᾽ ἐλάσσονος δίμετρον καταληκτικὸν ἀπὸ τροχαίων· τοῖς ἰωνικοῖς

γὰρ οἰκεῖοι οἱ τροχαῖοι. τὸ ὄγδοον ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. τὸ ἔνατον παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου καὶ κρητικοῦ. τὸ δέκατον ἀντισπαστικὸν δίμετρον καταληκτικὸν εἰς συλλαβήν· τετρασύλλαβοι γὰρ οἱ πόδες· ἡ τελευταία ἀδιάφορος. τὸ ἑνδέκατον ὅμοιον τῷ ἕκτῳ. τὸ δωδέκατον ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. τὸ τρισκαιδέκατον ἰαμβικὸν ἑφθημιμερές· ὁ τρίτος πούς τρίβραχυς. τὸ τεσσαρεσκαιδέκατον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κώλων ὀκτώ. ὧν τὸ πρῶτον χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἰαμβικὸν τὸ πρῶτον ἤτοι σπονδεῖος· συγγενὴς γὰρ τῷ χοριάμβῳ. τὸ β' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἀρχόμενον ἀπὸ τροχαίων, ὃ μᾶλλον ἐπιχοριαμβικὸν καλεῖται διὰ τὸ τῶν τροχαίων ἀνοίκειον. τὸ τρίτον ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. τὸ δ' παιωνικὸν δίμετρον ἀκατάληκτον, ὅμοιον τῷ θ' τῆς στροφῆς, [1]) συνῃρημένας ἔχοντας β' βραχείας συλλαβάς, τοῦ β' ποδὸς εἰς μίαν μακράν. τὸ ε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἕκτον μικτὸν τροχαϊκὸν ἀπὸ ἰαμβικῆς συζυγίας τρίμετρον ἀκατάληκτον· εἰς τὸ λαῖον συνίζησις. τὸ ἕβδομον ἐπιωνικὸν δίμετρον· ἐπιωνικὸν δὲ διὰ τοὺς ἰάμβους, δυνοίκειοι γάρ, οἰκεῖοι οἱ τροχαῖοι. τὸ ὄγδοον ἰαμβικὸν μικτὸν ἀπὸ τροχαίων τρίμετρον καταληκτικόν.

---

1) In marg. περισσόν.

Περὶ τῶν κώλων τῆς στροφῆς τοῦ γ' εἴδους.

Τοῦ τρίτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐννέα. ὧν τὸ ᾱ ἐγκωμιολογικὸν καταληκτικόν. ἐγκωμιολογικὸν δέ ἐστι τὸ διπενθημιμερὲς λεγόμενον. πενθημιμερῆ γὰρ εἰσὶ δύο, ἰαμβικὸν καὶ δακτυλικὸν, καὶ ἔστιν ὅτε ἐνὶ στίχῳ μίγνυνται. ἀλλ' ἐὰν μὲν προτεθῆται τὸ ἰαμβικὸν, ἰαμβέλεγος καλεῖται ἀπὸ τῆς ποιότητος· εἰ δὲ τὸ δακτυλικὸν, διπενθημιμερὲς ἀπὸ τῆς ποσότητος. τὸ αὐτὸ δὲ καὶ ἐγκωμιολογικόν· σύγκειται γὰρ ἐγκώμια ἐκ τοῦ τοιούτου μέτρου. ἰαμβέλεγος δὲ καλεῖται, ὅτι τὸ ἐλεγεῖον μέτρον ἐκ δύο πενθημιμερῶν δακτυλικῶν σύγκειται. ἀλλὰ τὸ μὲν ᾱ δέχεται καὶ σπονδείους, τὸ β̄ δὲ μόνον δακτύλους. [1]) ἐπεὶ γοῦν καὶ τοῦτο ἐκ δύο πενθημιμερῶν σύγκειται, οὐ μὴν δακτύλων, ἀλλὰ τοῦ ᾱ ἰαμβικοῦ, διὰ τοῦτο ἰαμβέλεγος καλεῖται. ἔστι δὲ ἀσυνάρτητον, διότι μὴ πεφυκῶς [2]) ἡνώθη. τὸ δὲ ἐν κώλοις [3]) ἀσυνάρτητον, τοῦτο ἀντιπαθὲς ἐναντίοις ποσὶν ἡνωμένης. τὸ β̄ προσοδιακὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. λέγεται δὲ προσοδιακὸν, διότι καὶ ἐν ἑορταῖς τοιούτοις ἐχρῶντο μέτροις, ὡς καὶ νῦν Πίνδαρος εἰς τὴν τῶν Θεοξενίων ἑορτήν. ἐν γὰρ ταῖς ἑορταῖς πρόσοδοι ἐγίνοντο καὶ εἰσφοραὶ πλείους. σύγκειται δὲ τὸ προσοδιακὸν ἐξ ἰωνικοῦ μείζονος καὶ χοριάμβου. πολλάκις δὲ τρέπεται ὁ ἰωνικὸς ἐς τὸν συγγενῆ τροχαῖον, ὡς γίνεσθαι παίων δεύτερος. τὸ τρίτον προσοδιακὸν τρίμετρον· κατὰ μονοποδίαν γὰρ μετρεῖται μέχρι τοῦ πενταμέτρου. πεντάμετρος γὰρ γενόμενος τριακοντάσημός ἐστιν, ἤτοι τριακοντάχρο-

1) In marg. περισσόν. 2) sic. 3) sic.

νος. πέρα δὲ τοῦ τριακοντασήμου οὐ προβαίνει στίχος καθ' Ἡφαιστίωνα. διὸ καὶ μέχρι πενταμέτρου χωρεῖ τὸ προσοδιακόν. τὸ τέταρτον δίμετρον ὑπερκατάληκτον προσοδιακὸν ἀπὸ μείζονος ἰωνικοῦ καὶ χοριάμβου. τὸ ε̄ προσοδιακὸν τρίμετρον καταληκτικὸν ἐκ τροχαϊκοῦ καὶ χοριάμβου καὶ ἰωνικοῦ ἀπ' ἐλάσσονος, ὥσπερ δὴ τραπεὶς εἰς τροχαῖον ποιεῖ ἐπίτριτον δεύτερον. γίνεται δὲ προσοδιακὸν καὶ ἀπ' ἐλασσόνων. τὸ ἕκτον ἰαμβικὸν πενθημιμερές. τὸ ἕβδομον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ὄγδοον ὅμοιον τῷ ᾱ τῆς στροφῆς. τὸ ἔννατον στησιχόρειον ἐξ ἐπιτρίτων τρίμετρον ἀκατάληκτον· δεύτεροι δὲ οἱ ἐπίτριτοι. [1]) ἐκεῖνος γὰρ δ̄ λυθείσης, καὶ τῆς τοῦ στίχου πρώτης συλλαβῆς, εἰς β̄ βραχέα, ἀπὸ Στησιχόρου εὑρόντος αὐτό.

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κώλων θ̄. ὧν τὸ πρῶτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ δεύτερον δακτυλικὸν πενθημιμερές. τὸ τρίτον προσοδιακὸν ἀπ' ἐλάσσονος τρίμετρον καταληκτικόν· ὁ πρῶτος ποὺς ἀπὸ τροχαίου, ὡς γίνεσθαι ἐπίτριτον δεύτερον. τὸ τέταρτον ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. τὸ ε̄ προσοδιακὸν δίμετρον ἐκ χοριάμβου καὶ ἰωνικοῦ ἀπ' ἐλάσσονος. τὸ ἕκτον ὅμοιον τῷ ᾱ τῆς στροφῆς. τὸ ἕβδομον [2]) ἐγκωμιολογικὸν διπενθημιμερές· ἐν δὲ τῇ μακρᾷ συναίρεσιν ἔχει τῶν β̄ βραχέων. [3]) τὸ ἔννατον στισηχόρειον [4]) τρίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτων δευτέρων.

---

1) In marg. περισσόν.
2) sic.
3) In marg. περισσόν.
4) sic.

Περὶ τῶν κώλων τῆς στροφῆς τοῦ δ εἴδους.

Τοῦ τετάρτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιε. τὸ α προσοδιακὸν ἀνακλώμενον δίμετρον ὑπερκατάληκτον. τὸ β ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ γ ἰθυφαλικὸν, ἤτοι τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. λέγεται τοῦτο καὶ ἡμιόλιον, καθότι τροχαϊκὸν ἓν μέτρον ἐστὶ καὶ ἥμισυ. ἡ τελευταία ἀδιάφορος. τὸ τέταρτον ἰωνικὸν τρίμετρον βραχυκατάληκτον ἀπὸ μείζονος. ἡ πρώτη δὲ μακρὰ συλλαβὴ διαλύεται εἰς δύο βραχείας. τὸ πέμπτον ἰωνικὸν δίμετρον ἀκατάληκτον, τῶν ἀρχουσῶν οὐσῶν ἀδιαφόρων, καὶ ἐν μὲν τῷ α ἴωνι ἀρχομένου ἰάμβου· ὃ καὶ Ἡφαιστίων παρατηρεῖται· πολλάκις γὰρ, φησὶν, ἀπὸ βραχείας ὁ μείζων ἰωνικὸς ἄρχεται τοῖς μετρικοῖς· ἐν δὲ τῷ δευτέρῳ τροχαίῳ, ὅς οἰκεῖος ἰωνικοῖς. τὸ ἕκτον ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον. τὸ ἕνδομον [1]) λογαοιδικῶν ἐξ ἀναπαιστικῶν, τὸ ὄγδοον φερεκράτειον ἀντισπαστικόν. ἔστι δ' ὅτε ὁ α γίνεται σπονδεῖος ἀντίσπαστος. ἐνδέει δὲ συλλαβῆς πρὸς τὸ φερεκράτειον εἶναι. ἔοικε δὲ εἶναι διτρόχαιον. τὸ ἔνατον ἰαμβικὸν ἑφθημιμερές. τὸ δέκατον ἐπιωνικὸν ἀπ' ἐλάσσονος. τὸ ἑνδέκατον τροχαϊκὸν δίμετρον ἀκατάληκτον, διαλυθέντων τῶν δύο ποδῶν. τὸ δωδέκατον ἰωνικὸν ἐξ ἐλάσσονος καὶ μείζονος δίμετρον ὑπερκατάληκτον. τὸ τρισκαιδέκατον ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον. τὸ τεσσαρεσκαιδέκατον ἰωνικόν· ἡ κατακλεὶς τροχαῖος. τὸ πεντεκαιδέκατον ἰαμβικὸν πενθημιμερές.

1) fic.

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κώλων ιβ'. τὸ ᾱ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. τὸ β̄ χοριαμβικόν· ἡ κατακλεὶς ἴαμβος, ὡς συγγενής. τὸ γ̄ ἰαμβικόν. τὸ τέταρτον προσοδιακὸν ἐξ ἰωνικοῦ καὶ χοριάμβου καὶ συλλαβῆς. τὸ ε̄ ἐπιχοριαμβικὸν δίμετρον ὑπερκατάληκτον, ἀπὸ τροχαίων ἀρχόμενον· ὁ ᾱ τρίβραχυς. τὸ ἕκτον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ἕβδομον δακτυλικὸν τρίμετρον καταληκτικόν· μετρεῖται δὲ καὶ ὡς προσοδιακόν. τὸ ὄγδοον περιοδικόν· διπλοῦς ἴαμβος καὶ διπλοῦς τροχαῖος, ὡς ἐν τῷ ᾱ κώλῳ τοῦ β̄ εἴδους. τὸ ἔνατον περιοδικόν· διπλοῦς τροχαῖος, ἀρχομένου ἰάμβου. τὸ δέκατον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ἑνδέκατον τροχαϊκὸν, λυομένου ποδὸς τοῦ ᾱ. οἱ τέσσαρες δὲ τροχαῖοι ἐπίτριτοι μέτρον καλοῦνται, ὥσπερ καὶ ἡ[1]) τρεῖς, ἡμιόλιον. τὸ δωδέκατον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ε̄ εἴδους.

Τὸ πέμπτον εἶδος τῆς στροφῆς ἔχει περιόδους ἁπλᾶς ἑαυτῷ συμφωνούσας· οὐ γάρ ἐστιν ἐπῳδὸς ἡ τρίτη· ἐκ κώλων δὲ ἐστὶ ιθ'. τὸ ᾱ δακτυλικὸν τρίμετρον καταληκτικόν. τὸ β̄ ἰωνικὸν ἀπ' ἐλάσσονος, τῆς πρώτης συζυγίας τρίτον παίωνα ἐπιδεξαμένης, ὅπερ γίνεται ἐπὶ τοῦ ἰωνικοῦ. τὸ τρίτον ἰθυφαλικὸν παρὰ μίαν συλλαβήν. τὸ τέταρτον δακτυλικὸν πενθημιμερές. τὸ ε̄ ἰθυφαλικὸν παρὰ μίαν συλλαβήν. τὸ ϛ' ἀναπαιστικόν· σύγκειται δὲ ἐκ δύο ἀναπαίστων καὶ βακ-

1) sic.

χείου, ὅπερ πάσχει τὰ ἀναπαιστικὰ, καὶ ἑξῆς ἀναπαίστου καταληκτικοῦ. τὸ ἕβδομον ἰθυφαλικόν. τὸ ὄγδοον φερεκράτειον. τὸ ἔννατον προσοδιακὸν ἐκ τοῦ ἀπ' ἐλάσσονος καὶ χοριάμβου. τὸ δέκατον δακτυλικὸν δίμετρον ἀκατάληκτον. τὸ ἑνδέκατον δακτυλικὸν πενθημιμερές. τὸ δωδέκατον ἰθυφαλλικόν. τὸ ιγ ὁμοίως τῷ ἕκτῳ. τὸ ιδ ἰθυφαλλικόν. τὸ ιε δίμοιρον ἔπους. τὸ ις ἰθυφαλλικόν. τὸ ιζ δίμοιρον ἔπους. τὸ ιη ἐγκωμιολογικὸν περὶ τὴν τελευταίαν συλλαβήν. τὸ ιθ ἰθυφαλλικόν.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ς' εἴδους.

Τοῦ ἕκτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ια. τὸ α ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ β' προσοδιακὸν δίμετρον ἀκατάληκτον. τὸ γ' προσοδιακὸν τρίμετρον ἀκατάληκτον, πρώτου χοριάμβου. τὸ δ' ἐγκωμιολογικόν. τὸ ε εὐριπίδειον. τὸ ς' προσοδιακὸν ὑπερκατάληκτον δίμετρον. τὸ ζ ἰαμβέλεγος. τὸ η ἴαμβος τρίμετρος. τὸ θ' ὅμοιον τῷ ἕκτῳ. τὸ δέκατον ἐγκωμιολογικόν. τὸ ἑνδέκατον ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κώλων ιδ'. τὸ πρῶτον ἐγκωμιολογικὸν παρὰ μίαν συλλαβὴν τοῦ πενθημιμερὲς [1]) ἰάμβου, τὸ β' προσοδιακὸν δίμετρον ἀκατάληκτον. τὸ τρίτον στησιχόρειον τῷ πινδαρικῷ ἰδιώματι· ὁ γὰρ τροχαῖος ἀντὶ τροχαίου ἴαμβον ἔχει. τὸ δ' ἀναπαι-

1) sic.

στικὸν μονόμετρον ἀκατάληκτον. τὸ ε̄ ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ς̄ ἢ ἰωνικὸν μονόμετρον ὑπερκατάληκτον, ἢ ἀναπαιστικὸν μονόμετρον ἀκατάληκτον. τὸ η̄ εὐριπίδειον. τὸ θ̄ ὅμοιον τῷ δευτέρῳ, κατὰ τὸ ἔθος τοῖς ἰωνικοῖς, τοῖς ἀπὸ βραχείας. τὸ ι̅ δάκτυλικὸν πενθημιμερές. τὸ ια̅ ὅμοιον τῷ β̄. τὸ ιβ̅ δακτυλικὸν τρίμετρον καταληκτικόν. τὸ ιγ̅ προσοδιακὸν ἀπὸ χοριάμβου. τὸ ιδ̅ τροχαϊκὸν στησιχόρειον.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ζ εἴδους.

Τοῦ ζ εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ια̅. τὸ α̅ ἰωνικὸν δίμετρον καταληκτικόν. τὸ β̄ προσοδιακὸν δίμετρον ἀκατάληκτον. τὸ γ̄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ δ̄ εὐριπίδειον. τὸ ε̄ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ς̄ δακτυλικὸν πενθημιμερές. τὸ ζ̄ ὅμοιον τῷ β̄. τὸ ὄγδοον ἐγκωμιολογικόν. τὸ θ̄ ὅμοιον τῷ ἕκτῳ, δακτυλικὸν πενθημιμερές. τὸ ι̅ ἰωνικὸν δίμετρον. τὸ ια̅ δακτυλικὸν τρίμετρον.

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κώλων ιγ̅. τὸ πρῶτον δακτυλικὸν πενθημιμερές. τὸ β̄ ἰωνικὸν προσοδιακὸν τρίμετρον ἀκατάληκτον. τὸ γ̄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ δ̄ δακτυλικὸν τρίμετρον ἀκατάληκτον, ἢ προσοδιακὸν δίμετρον ἀκατάληκτον. τὸ ς̄, δοκεῖ μοι, καὶ τοῦτο δακτυλικὸν ἐστὶν ἀκέφαλον ἑφθημιμερές, ἢ περιοδικὸν, διπλοῦς τροχαῖος, τὸ ζ̄ προσοδιακὸν δίμετρον ἀκατάληκτον. τὸ η̄ τροχαῖος δίμετρος ἀκατάληκτος. τὸ θ̄ δακτυλικὸν πενθημιμερές. τὸ ι̅ ἰαμβέλεγος, τοῦ α̅ ἰάμβου λελυμένου. τὸ ια̅ ἰωνικὸν

ἀπ᾽ ἐλάσσονος δίμετρον καταληκτικόν. τὸ ιγ στησιχόρειον.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστρόφου τοῦ ή εἴδους.

Τοῦ ή εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ κώλων θ'. τὸ πρῶτον τροχαϊκὸν ἐπίτριτον, ἢ χοριαμβικόν. τὸ β ἰωνικὸν ἀπ᾽ ἐλάσσονος. τὸ τρίτον ἰαμβέλεγον πλεονάζον συλλαβῇ[1]). τὸ τέταρτον ἐπιχοριαμβικὸν πινδαρικόν. τὸ ε προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. τὸ ς' προσοδιακὸν τρίμετρον καταληκτικὸν, τοῦ ἰωνικοῦ μέσου ὄντος. τὸ ζ δακτυλικὸν πενθημιμερές. τὸ ή ἰωνικὸν δίμετρον καταληκτικόν. τὸ θ' εὐριπίδειον.

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κώλων ια. τὸ α προσοδιακὸν τρίμετρον ἀκατάληκτον. τὸ β δακτυλικὸν τρίμετρον ἀκατάληκτον. τὸ γ. χοριαμβικὸν δίμετρον καταληκτικόν. τὸ δ ἐγκωμιολογικὸν περὶ τὴν τελευταίαν συλλαβήν. τὸ ε δακτυλικὸν τρίμετρον τελικὸν καὶ προσοδιακόν. τὸ ς' ὁμοίως τῷ αὐτῷ. τὸ ζ ὁμοίως τῷ αὐτῷ. τὸ ή δακτυλικὸν πενθημιμερές. τὸ θ' προσοδιακὸν τρίμετρον ἀκατάληκτον· ὁ α ἐξ ἰάμβων ἀδιάφορος, ὁ β χορίαμβος. τὸ ι ἰωνικὸν ἀπ᾽ ἐλάσσονος, τροχαϊκῆς συζυγίας καὶ τρίτου παίωνος, κατὰ τὸ σύνηθες τῶν ἰωνικῶν καὶ τριμέτρων βραχυκαταλήκτων. τὸ ια ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

---

1) sic.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστρόφου τοῦ θ' εἴδους.

Τοῦ ἐννάτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιϛ'. τὸ α̅ ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον. τὸ β̅ ἰωνικὸν δίμετρον καταληκτικὸν εἰς τροχαϊκὴν συζυγίαν. τὸ γ̅ φαλαίκειον, ἀντισπαστικόν. τὸ δ̅ γλυκώνειον, οἷον ἐστὶν ἀντισπαστικόν. τὸ ε̅ ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον. τὸ ϛ' ὅμοιον τῷ τετάρτῳ. τὸ ζ̅ ἰωνικὸν δίμετρον βραχυκατάληκτον. τὸ η̅ ὁμοίως τὸ [1]) δ̅ καὶ ϛ̅. τὸ θ' ὁμοίως τῷ ζ̅. τὸ
ϛ ϛ
δέκατον περιοδικὸν, ἐπίτριτον τροχαῖον. τὸ ι̅α̅ ὁμοίως τῷ ζ̅ καὶ θ'. τὸ δωδέκατον γλυκώνειον. τὸ ι̅γ̅ ὁμοίως τῷ ζ̅ καὶ θ' καὶ ι̅α̅. τὸ τεσσαρεσκαιδέκατον ἰαμβικὸν δίμετρον καταληκτικόν. τὸ ι̅ε̅ ἐπιωνικὸν ἄτακτον, β̅ σπονδείους ἔχον. τὸ ιϛ' ἐπιωνικὸν καθαρὸν, δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κώλων ι'. τὸ α̅ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ β̅ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ γ̅ ἀναπαιστικὸν δίμετρον καταλῆγον μιᾷ συλλαβῇ. τὸ δ̅ ἰωνικὸν καταλῆγον εἰς τροχαϊκὴν συζυγίαν, δίμετρον ὑπερκατάληκτον. τὸ ε̅ δακτυλικὸν ἑφθημιμερές. τὸ ϛ' προσοδιακὸν τρίμετρον καταληκτικόν· τὸ α̅ ἰωνικὸν ἀπὸ μείζονος, τὸ β̅ χορίαμβος, τὸ γ̅ ἰωνικὸν ἀπ' ἐλάσσονος. τὸ ζ̅ τρίμετρον ἐπιωνικὸν βραχυκατάληκτον. τὸ η̅ διπλοῦς τροχαῖος καὶ διπλοῦς ἴαμβος. τὸ θ' ἰωνικὸν δίμετρον βραχυκατά-

---

1) Sic.

λῆκτον ἀδιάφορον κατὰ τὴν ἄρχουσαν. τὸ δέκατον ἀντισπαστικὸν ἐννεασύλλαβον σαπφικὸν, πλεονάζον τοῦ γλυκωνείου μιᾷ συλλαβῇ.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ῑ εἴδους.

Τοῦ ῑ εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων η̄. τὸ ᾱ ἀσκληπιάδειον ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον, τοῦ ᾱ ἀντισπάστου ἀπὸ βραχέος ἀρξαμένου. τὸ β̄ χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἀρξάμενον ἀπὸ ἰαμβικοῦ καὶ λῆγον εἰς ἴαμβον. τὸ γ̄ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ δ̄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον, διῃρημένου τοῦ ᾱ ποδός. τὸ ε̄ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον, ἢ προσοδιακὸν δίμετρον ἀκατάληκτον. τὸ ς̄ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον, ὅ ἐστι φερεκράτειον παρὰ συλλαβήν. τὸ ζ̄ ἰωνικὸν τρίμετρον καταληκτικόν· ἡ ᾱ συλλαβὴ ἰωνικὴ, ἡ β̄ ἰαμβικὴ, εἶτα τροχαῖος, οἰκεῖος τῇ ἰωνικῇ. τὸ η̄ γλυκώνειον, ὅπερ ἔλυσεν ἐν τῷ, πέφνε Κτέατον ἀμύμονα, ἐννεασύλλαβον.

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κώλων θ̄. τὸ ᾱ χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, οὗ ἡ ᾱ συλλαβὴ ἰαμβικὴ, τοῦ β̄ ποδὸς ἀναλυομένου, εἶτα χορίαμβος, εἶτα ποὺς ἁπλοῦς. τὸ β̄ προσοδιακὸν τρίμετρον ἀκατάληκτον· ὁ ᾱ τροχαῖος, τοῦ ᾱ ποδὸς λελυμένου, εἶτα ἰωνικὸς ἀπὸ μείζονος, εἶτα χορίαμβος. τὸ γ̄ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον λελυμένον. τὸ δ̄ ἰωνικὸν τρίμετρον ἀκατάληκτον ἀπὸ ἰαμβικῆς συζυγίας λελυμένης. τὸ ε̄ ἰωνικὸν τετράμετρον καταληκτικὸν, τοῦ γ̄ παίωνος ἀντὶ ἀπ'

ἐλάσσονος κειμένου, καὶ τροχαίου καὶ συλλαβῆς. τὸ ϛ΄ ἰαμβικόν. τὸ ζ΄ προσοδιακὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος καὶ ποδὸς ἡμίσεος. τὸ η̅ ἰαμβικὸν δίμετρον ἀκατάληκτον ὁ β̅ ποὺς ἀνάπαιστος, ὁ δὲ τέταρτος τρίβραχυς. τὸ θ΄ ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαϊκῆς.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ια΄ εἴδους.

Τοῦ ια̅ εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ϛ΄. τὸ πρῶτον ἰαμβέλεγος, τῆς τελευταίας εἰς τὴν ἀρχαίαν μετατιθείσης[1]). τὸ β̅ ὅμοιον τῷ α̅ παρὰ τὴν τελευταίαν συλλαβήν. τὸ γ̅ τῷ αὐτοῦ[2]) παρὰ τὸν τελευταῖον πόδα. τὸ δ̅ μικτὸν ἐκ διμέτρου τροχαϊκοῦ καὶ ἡμίσεος ἔπους. τὸ ε̅ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, εἰς ἴαμβον πινδαρικῷ ἔθει. τὸ ϛ΄ ἰαμβέλεγος ἢ ἰαμβικὸν τρίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κώλων ι΄. τὸ α̅ ἐγκωμιολογικόν. τὸ β̅ δίμοιρον ἔπους. τὸ τρίτον ἰαμβέλεγος παρὰ τὴν α̅ συλλαβήν. τὸ δ̅ τροχαϊκὸν τρίμετρον καταληκτικόν. τὸ ε̅ ὅμοιον τῷ αὐτῷ. τὸ ϛ΄ εὐριπίδειον. τὸ ἕβδομον ἐγκωμιολογικὸν πινδαρικῷ ἔθει. ἐπιλαμβάνονται δὲ αὐτοῦ διὰ τὸν δάκτυλον. τὸ ὄγδοον χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ἔννατον εὐριπίδειον. τὸ ι̅ τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

---

1) sic. 2) sic.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ιβ' εἴδους.

Τοῦ ιβ εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιθ'. τὸ ᾱ ἰαμβέλεγος, λειπούσης τῆς πρώτης συλλαβῆς, ἢ τοῦ τέλους μετὰ κειμένου [1]) ἐπὶ τὴν ἀρχήν. τὸ β̄ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ γ̄ προσοδιακὸν δίμετρον ἀκατάληκτον. τὸ δ̄ τροχαϊκὸν τρίμετρον καταληκτικόν. τὸ ε̄ πινδαρικὸν ἐκ Στησιχόρου τρίμετρον ἀκατάληκτον. τὸ ς' ἰαμβέλεγος, τοῦ τέλους ἐπὶ τὴν ἀρχὴν μετακειμένου. τὸ ζ̄ εὐριπίδειον. τὸ η̄ προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. τὸ ἔνατον εὐριπίδειον.

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κώλων ί. τὸ ᾱ ἐγκωμιολογικόν. τὸ β̄ δακτυλικὸν τρίμετρον ἀκατάληκτον. τὸ γ̄ εὐριπίδειον. τὸ δ̄ ἀναπαιστικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ε̄ προσοδιακὸν καὶ συλλαβή. τὸ ς' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ζ̄ ἰαμβέλεγος, τῆς ᾱ ἀφῃρημένης, ἢ τοῦ τέλους μετακειμένου. τὸ η̄ πινδαρικὸν ἀπὸ Στησιχόρου. τὸ θ' στησιχόρειον. τὸ ῑ τροχαϊκὸν δίμετρον ἀκατάληκτικον [2]).

Περὶ τῶν κώλων τοῦ ιγ' εἴδους.

Τοῦ ιγ' εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ια'. τὸ ᾱ ἀντισπαστικὸν τρίμετρον ἀπὸ ᾱ ποδὸς ἀδιαφόρου καὶ τροχαίου. ὁ τρίτος ποὺς παρενομήθη. ὁ γὰρ ἀντίσπαστος ἀπὸ β̄ τροχαίου, ὅπερ πάσχει κατὰ μέτρον. τὸ β̄ φερεκράτειον δίμετρον καταληκτικόν. τὸ τρίτον ἴαμβος τρίμετρος βραχυκατά-

1) sic. 2) sic.

ληκτος· ὁ β̄ ποὺς ἁπανταχοῦ βραχύς· ὁ τέταρτος ἄτακτος· σπονδεῖος γὰρ εὑρίσκεται παρὰ τοῖς μελοποιοῖς. τὸ δ̄ ἴαμβος τρίμετρος βραχυκατάληκτος. τὸ ε̄ διπλῆ περίοδος, καὶ διπλοῦς ἴαμβος ἀρχόμενος. τὸ ς̄ ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον ἀπὸ ἰάμβου καὶ ἰωνικοῦ ἀπ᾽ ἐλάσσονος καὶ τροχαϊκῆς συλλαβῆς τῆς οἰκείας. τὸ ζ̄ δακτυλικὸν πενθημιμερές. τὸ η̄ ἐπιχοριαμβικὸν ἀπὸ χοριαμβικῆς διποδίας καὶ χοριάμβου, τῆς βραχείας οὔσης διὰ τὴν κατάληξιν. τὸ θ̄ προςοδιακὸν ἢ ἀναπαιστικόν. τὸ ῑ εὐριπίδειον· αἱ δὲ ἀποδόσεις ἐπεὶ ἀσύλλαβοι εἰσὶν, ἰωνικὸν ἀπ᾽ ἐλάσσονος. τὸ ια̅ ἢ χορίαμβος ἢ τροχαῖος ἐπίτριτος.

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κώλων ια̅. τὸ πρῶτον προσοδιακὸν δίμετρον ἀκατάληκτον, τῆς μοι βραχείας οὔσης. τὸ β̄ ἐγκωμιολογικόν. τὸ γ̄ τροχαϊκὸν δίμετρον. τὸ δ̄ ὅμοιον τῷ ια̅ τῆς στροφῆς. τὸ ε̄ ἰωνικὸν δίμετρον ἀκατάληκτον. τὸ ς̄ εὐριπίδειον. τὸ ζ̄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ η̄ δακτυλικὸν πενθημιμερές. τὸ θ̄ ἐπιωνικὸν ἄτακτον· ὁ γὰρ β̄ σπονδεῖός ἐστιν, εἶτα ἡμισυζυγίας. ἐν τοῖς ἐπιωνικοῖς ἡ ἀταξία, ὡς ἐν τῷ, ὦ καλλίστη πόλι πασῶν, ὁπόσας Κλέων ἐφορᾷ. τὸ δέκατον εὐριπίδειον. τὸ ια̅ τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῶν κώλων τῶν δύο μονοστρόφων στροφῶν τοῦ ιδ̄ εἴδους.

Τοῦ ιδ̄ εἴδους ἡ μονόστροφος στροφὴ κώλων ἐστὶ ιη̅. τὸ α̅ σαπφικὸν ἐννεασύλλαβον φερεκράτειον. τὸ β̄ ἐκ χοριαμβικοῦ καὶ ἰωνικοῦ ἀπ᾽ ἐλάσσονος τρί-

μετρον καταληκτικόν. τὸ γ̄ διπλοῦν φερεκράτειον· τὸ β̄ ἀτελές. τὸ δ̄ παιωνικὸν δίμετρον καταληκτικόν. τὸ ε̄ ἐπιωνικὸν τρίμετρον ἀπ᾽ ἐλάσσονος καταληκτικόν. τὸ ς̄ δακτυλικὸν, διποδία ἑξασύλλαβος. τὸ ζ̄ ἐκ παιώνων δύο καὶ ἀντισπαστικοῦ πενθημιμεροῦς. τὸ η̄ τροχαϊκὸν καὶ ἑφθημιμερές. τὸ θ̄ ἐκ δακτυλικῆς διποδίας καὶ τροχαϊκοῦ πενθημιμεροῦς. τὸ ῑ ἐξ ἀντισπάστου ἑξασήμου καὶ τροχαϊκῆς κατὰ κλεῖδος [1]). τὸ ια ἰωνικὸν ἀπὸ μείζονος ἑφθημιμερές. τὸ ιβ δακτυλικὸν πενθημιμερές. τὸ ιγ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ιδ ἐξ ἰωνικῆς βάσεως ἀπ᾽ ἐλάσσονος καὶ τροχαίου πενθημιμεροῦς. τὸ ιε ἰωνικὸν ἀπ᾽ ἐλάσσονος ἑφθημιμερές. τὸ ις ἐξ ἰωνικῆς βάσεως ἀπ᾽ ἐλάττονος καὶ ἡμιολίου ἀτάκτου. τὸ ιζ ἐκ χοριάμβου καὶ ἰαμβικοῦ ἑφθημιμερές. τὸ ιη ἰαμβικὸν ἑφθημιμερές.

Ἡ δὲ ἑτέρα τοῦ αὐτοῦ ἐπινικίου μονόστροφος στροφὴ κώλων ις. τὸ ᾱ φαλαίκειον. τὸ β̄ ἐκ χοριάμβου καὶ ἰάμβου ἑφθημιμεροῦς. τὸ γ̄ ἀλκμαιώνιον δεκασύλλαβον. τὸ δ̄ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον μεμιγμένον ἰάμβοις. τὸ ε̄ ἐκ χοριαμβικῆς καὶ ἰαμβικῆς βάσεως. τὸ ς̄ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ζ̄ ἀντισπαστικὸν δίμετρον ἐκ τροχαϊκῆς καταχλεῖδος. τὸ η̄ ἐκ χοριαμβικοῦ εἰς ἀντισπαστικόν. τὸ θ' ἐξ ἰωνικῆς βάσεως καὶ τοῦ πενταςήμου καὶ χοριαμβικοῦ καὶ ἰωνικοῦ ἀπὸ μείζονος. τὸ ῑ ἀσκληπιάδειον. τὸ ια δακτυλικὸν τριποδές. τὸ ιβ ἰαμβικὸν ἑφθημιμερές. τὸ ιγ ἐξ ἀντισπάστου καὶ ἰαμβικοῦ ἑφθημιμεροῦς. τὸ ιδ γλυκώνειον. τὸ ιε ἰαμβικὸν

1) Sic.

δίμετρον ἀκατάληκτον. τὸ ιϛ ἐκ χοριαμβικοῦ καὶ ἰαμβικοῦ ἑφθημιμεροῦς. τὸ ιζ ἰαμβικὸν πενθημιμερές.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ᾱ εἴδους τῶν Πυθίων.

Τοῦ ᾱ εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιβ΄. τὸ ᾱ σύγκειται ἐκ διμοίρου τροχαΐου ἀκαταλήκτου. τὸ β΄ δακτυλικὸν πενθημιμερὲς καταληκτικόν. τὸ γ΄ ἀκτασύλλαβον σαπφικὸν, ὡς τὸ ᾱ ὅλον Σαπφοῦς γεγραμμένον. ἔστι δὲ δίμετρον τροχαϊκὸν ἀκατάληκτον ἐπιχοριαμβικόν. τὸ δ΄ πινδαρικὸν ἐκ σαπφικοῦ· σύγκειται δὲ ἐκ τροχαϊκῆς συζυγίας καὶ χοριαμβικῆς καὶ ἰωνικοῦ ἀπ' ἐλάσσονος καὶ συλλαβῆς. τὸ ε΄ ἀντισπαστικὸν ὑπερκατάληκτον, τοῦ ᾱ ποδὸς τῆς ᾱ συζυγίας διαφερούσης. τὸ ϛ΄ σύνθετον ἐκ τοῦ λεγομένου προσοδιακοῦ καὶ ἰαμβικῆς συζυγίας. τὸ ζ΄ κατὰ Πίνδαρον ἐκ σαπφικοῦ, διαφέρον τοῦ δ΄, ὅτι ἐκεῖνο μὲν ὑπερκατάληκτον, τοῦτο δὲ καταληκτικόν. τὸ η΄ τροχαϊκὸν τρίμετρον καταληκτικόν. τὸ θ΄ πενθημιμερὲς δακτυλικὸν, ὅμοιον τῷ, μῆνιν ἄειδε θεά. τὸ δέκατον ὅμοιον τῷ ζ΄. τὸ ια προσοδιακὸν παρὰ τὴν ἰαμβικὴν συζυγίαν. τὸ δωδέκατον τροχαϊκὴ διποδία, ὅ ἐστι μονόμετρον.

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κώλων ιε. τὸ ᾱ δακτυλικὸν τρίμετρον ἀκατάληκτον. τὸ β΄ τροχαϊκὸν δίμετρον καταληκτικὸν εὐριπίδειον. τὸ γ΄ προσοδιακὸν δίμετρον ἀκατάληκτον, τῆς τελευταίας ἀδιαφόρου οὔσης. τὸ δ΄ κατὰ τὸ πινδαρικὸν ἐκ σαπφικοῦ, διαφέρον τοῦ δ΄, ὅτι

ἐκεῖνο μὲν ὑπερκατάληκτον, τούτῳ[1]) δὲ καταληκτικὸν, ὁμοίως τῷ ζ καὶ δεκάτῳ τῆς στροφῆς. τὸ ε δίμετρον τροχαϊκὸν ἀκατάληκτον. τὸ ς δίμετρον ἰωνικὸν καταληκτικόν. τὸ ζ προσοδιακὸν ὁμοίως τῷ ς τῆς στροφῆς. τὸ η ὁμοίως τῷ τῆς στροφῆς. τὸ ϑ δίμετρον ἀπ' ἐλάσσονος καταληκτικοῦ. τὸ ι ὁμοίως ἐκείνου ὑπερκαταλήκτου ὄντος. τὸ ια δίμετρον τροχαϊκὸν ἀκατάληκτον ὁμοίως τῷ ια τῆς στροφῆς. τὸ ιβ ὁμοίως. τὸ ιγ πενθημιμερὶς δακτυλικὸν ὅμοιον τὸ[2]), μῆνιν ἄειδε θεά. τὸ ιδ προσοδιακόν· ἐξ ἰωνικοῦ ἀπ' ἐλάσσονος σύγκειται καὶ χοριαμβικοῦ. τὸ ιε δίμετρον τροχαϊκὸν ἀκατάληκτον ὁμοίως τῷ α τῆς στροφῆς.

Περὶ ποδῶν.

Ποὺς τοίνυν ἐστὶν σύνθεσις συλλαβῶν, ἄρσιν ἢ θέσιν περιέχουσα. καὶ ἄλλως· ποὺς ἐστὶ μετρικὴ συλλαβῶν θέσις ἀπὸ δύο ἕως ἕξ, ἐξ ὧν γνωρίζομεν τὸ τοῦ μέτρου εἶδός τε καὶ μέγεθος. βάσις δὲ ἐστὶ τὸ ἐκ β ποδῶν συνεστηκὸς, τοῦ μὲν ἄρσει, τοῦ δὲ θέσει παραλαμβανομένου. ἢ οὕτως· βάσις ἐστὶν ἡ ἐκ ποδὸς καὶ καταλήξεως, τουτέστι μιᾶς συλλαβῆς ποδὶ ἰσουμένης. γνωρίζεται δὲ ὁ μὲν ποὺς ταῖς συλλαβαῖς, τὰ δὲ μέτρα τοῖς ποσὶν ἢ ταῖς βάσεσι. μέτρον δὲ ἐστὶν ποδῶν ὡρισμένων ποιὰ σύνθεσις κατὰ τὴν φυσικὴν συμμετρίαν: πῶς ὑπὸ τῶν τοῦ λόγου μερῶν ἀφωρισμένοι. μετροῦνται δὲ οἱ πόδες ἀπὸ δισυλλαβίας ἕως ἓξ συλλαβῶν. καὶ ἐστὶν αὐτῶν μετρῆσαι τὴν ποσότητα, ὡς τινὲς φασὶ τῶν τεχνικῶν, κατὰ διπλασιασμόν. εἰσὶ γὰρ δισύλλαβοι ἁπλοῖ δ, τουτέστιν ὁ

1) fic. 2) fic.

σπονδεῖος, ὁ πυῤῥίχιος, ὁ τροχαῖος καὶ ὁ ἴαμβος. οὗτοι δὲ ἀντιστρεφόμενοι ἀλλήλους ποιοῦσι κυκλικῷ σχήματι. τοῦ γὰρ τροχαίου μετατιθεμένη ἡ μακρὰ τὸν ἴαμβον ἀποτελεῖ· καὶ ἔμπαλιν ἡ τοῦ ἰάμβου τὸν τροχαῖον. καὶ αἱ τοῦ σπονδείου μακραὶ εἰς βραχεῖαν τὸν πυῤῥίχιον· καὶ ἔμπαλιν αἱ τοῦ πυῤῥιχίου βραχεῖαι εἰς μακρὰν τὸν σπονδεῖον. εἰσὶν οὖν δισύλλαβοι τῶν ἁπλῶν πόδες τέσσαρες· εἶτα κατὰ διπλασιασμὸν τρισύλλαβοι η΄, ὡς ὁ τεχνικὸς φησί· πάλιν κατὰ διπλασιασμὸν τῶν διπλῶν τετρασύλλαβοι ις΄, πεντασύλλαβοι λβ΄, ἑξασύλλαβοι ἑξηκοντατέσσαρες· ὥστε εἶναι τοὺς πάντας ὁμοῦ ρκδ. ἄλλοι δ᾽ ἄλλως ψηφίζουσιν, ὥστε καὶ πλείονα φθάνειν. τοὺς γὰρ ιβ΄ ἁπλοὺς, τουτέστι τοὺς δ΄ διαυλλάβους, καὶ ὀκτὼ τρισυλλάβους. [1]) ηλάθτ [2]) ἢ οὐκ ἐνόησεν. ἢ οὐχ ἅλις, ὅττι γυναῖκας. δύο βραχέας [3]) εἰς μίαν μακράν. ῥεῖα μὲν γὰρ βρυάει [4]). Ἕκτορος ἀμφὶ νέκυι. τοῦ ι εἰς τὴν υι δίφθογγον συναιρουμένου. καὶ βραχεῖαν καὶ μακρὰν εἰς μακράν. ὑμέων οἵπερ ἔασι. τὸ ε καὶ ω εἰς μίαν μακράν. μακρᾶς δὲ καὶ βραχείας τὸ ἐναντίον. δαέρων. γαλέων. ὅτι δὲ τὸ ᾱ μακρὸν ἐστὶ, δῆλον ἐκ τοῦ, δαὴρ δ᾽ αὖτ᾽ ἐμός. αὐτοκασίγνητον καὶ δαέρα. ὅτι δὲ τὸ, Ἕκτορ ἐμῷ θυμῷ δαέρων, δύναται συνεστάλθαι τὸ α. καὶ συνίζησις δύναται καὶ κατὰ συστολὴν, ὡς ἐπὶ τοῦ, οὐδὲ μὲν οὐδὲ Τρῶας ἀγήνορας εἴασεν Ἕκτωρ. ἄλογος συστολὴ διὰ τὸ μέτρον. ὡς καὶ ἄλογος ἔκτασις ἐν τῷ, φίλε κασίγνητε, καὶ, ἀνέρες ἐστὲ φίλοι. ἐκτέταται

---

1) Ob folium in Cod. avulsum pleraque heic interciderunt. Vide tamen quae sequuntur in Tractatu *Eliae de metris* περὶ συνιζήσεως.

2) sic. 3) sic. 4) sic.

γὰρ καὶ συνέσταλται. ὃς δέ κ' ἀνὴρ μενέχαρμος. καὶ, Ἄρες, Ἄρες βροτολοιγέ. δύο βραχεῖαι εἰς μίαν βραχεῖαν. ἀστέρι ὀπωρινῷ. χαῖρε δὲ τῷ ὄρνιθι Ὀδυσσεύς. ἥρατο δ' Ἀθήνῃ[1]). ἔστι δὲ καὶ ἄλλα εἴδη συνιζήσεως. βραχείας καὶ κοινῆς. χρυσέῳ ἀνὰ σκήπτρῳ. δενδρέῳ ἐφεζόμενοι. καὶ ὅταν δύο βραχείας ∪ ∪ φύσει εἰς μίαν κοινὴν δεχόμεθα[2]). τρέε δ' Αἴδης ἐνέροισιν. ἐπεὶ γὰρ ἐνταῦθα δίχρονον οὐκ ἔστιν, ἵνα μακρὰν ποιήσωμεν, ὡς ἐπὶ τοῦ, ῥέα μὲν γὰρ βριάει, ἀρκούμεθα τῇ τελευταίᾳ τῆς λέξεως συλλαβῇ[3]) κατὰ συνεκφώνησιν. εἰ γὰρ βραχεῖα λήγουσα εἰς μέρος λόγου ἀντὶ μακρᾶς παραλαμβάνεται. ἐὰν δὲ ὦσιν ἐν μέσῳ λέξεως αἱ δύο ∪ ∪, ἀπαραμύθητόν ἐστι. πλεόνεσκε[4]) μνηστῆρες. οὐκέτι γὰρ δυνατὸν ἐκκρίναι, ὅτι τῶν φωνηέντων βραχέων ὄντων, οὔτε τῶν κειμένων ἔνι παραλαβεῖν, οὐ γὰρ τελικόν ἐστι, διὸ χωλὸν ἔμεινε. τὸ τοίνυν, ἠγίνεον ἀνὰ ἄστυ, οὕτω διαιροῦμεν βαίνοντες ὑγιεινά. ὁ ᾱ ποὺς ἐστὶ σπονδεῖος· ὁ δὲ δεύτερος δάκτυλος, κοινὴν ἔχων τὴν ᾱ. οὐκ ἐδύνατο δὲ ὁ ᾱ δάκτυλος εἶναι· ἀεὶ γὰρ ἐκτείνεται τὸ ῑ. τῶν ἐκ γέ σφιν ἕκαστος ἐπ' ἤματι μῆλον ἀγίνει. τὸν δὲ πάροιθεν ἀγίνεσκον νέοι ἄνδρες. ἐπὶ δὲ τοῦ, ἠρίθμεον, ἄρχον δὲ μετ' ἀμφοτέροισιν, οὐ ποιοῦμεν συνίζησιν, οὐδὲ τὸν πρῶτον πόδα ποιοῦμεν σπονδεῖον, ὡς ἐπὶ τοῦ ἠγίνεον, ἀλλὰ κοινὴν τὴν β' συλλαβὴν διὰ τὰ ἄφωνον καὶ ἀμετάβολον,· ὡς παρὰ Θευκρίτῳ, ἄμμες δ' οὐδὲ λόγου τινὲς ἄξιαι οὐδ' ἀριθμηταί, ὁ πέμπτος ποὺς δάκτυλος. ἐνίοτε μέντοι βραχεῖαν καὶ θέσει μακρὰν συνεκφωνοῦμεν, ὡς τὰ, Δευκαλίων δ' ἔμ'

---

1) sic. 2) sic. 3) sic. 4) sic.

ἔτικτε πολέες ἄνδρεσι [1]), τὸν τέταρτον πόδα ποιοῦμεν σπονδεῖον· ἡ γὰρ τρίτη συλλαβὴ, τὸ πολέες, ἐστὶ θέσει μακρά. ὅμοιον κἀκεῖνο εἶπον, ὁπότε τίς κεῖθι κάλεον μήτηρ τε πατήρ τε. παρὰ δὲ Ἡσιόδῳ καὶ δύο ἐκφωνήσεις πολλάκις κατὰ τὸν στίχον εὑρίσκονται, ὡς ἐν ἐκείνῳ, ἡ δὲ φιλομμήδεα [2]), ὅτε μηδέων ἐξεφαάνθη. ἢ καὶ παρ' Ὁμήρῳ τὸ ὅμοιον, ἄφρεον δὲ στήθεα, ῥαίνοντο. ὁ μὲν γὰρ α̅ ποὺς ὁμοίαν ἔχει τὴν συνεκφώνησιν τὸ [3]), κάλεον μήτηρ τε. ὁ δὲ τρίτος ὁμοίως τῷ, ῥέα μὲν γὰρ φεύγεσκεν ὑπ' ἐκ Τρώων ὀρυμαγδοῦ. ὅτι διαφέρει ἡ συνίζησις τῆς συναλοιφῆς γενικῷ τρόπῳ, ὅτι ἡ συναλοιφὴ, ὡς γράφεται, καὶ λέγεται, εἰ δὲ συνίζησις ἐν τῷ καίνειν ὁμοῦ, ὑπὲρ θεραπείας τοῦ μέτρου τὰς δύο συλλαβὰς κατὰ μίαν προφορὰν μόνον συναιροῦμεν· διὸ καὶ συνίζησις λέγεται. συνιζάνειν γὰρ λέγομεν τὸ ἔκ τινος μείζονος εἰς ἔλαττον συμπίπτειν. εἴρηται δὲ συνίζησις ἀπὸ τοῦ συμβαίνοντος περὶ τοὺς καθεζομένους· ἐπειδὴ οὗτοι καθεστέντες [4]) συστέλλουσι τὰ μέγεθος.

1) sic. 2) sic. 3) sic. 4) sic.

[1])ΗΛΙΟΥ ΕΛΑΧΙΣΤΟΥ[2]) ΜΟΝΑΧΟΥ ΧΑΡΑΚΟΣ ΠΡΟΣ ΙΩΑΝΝΗΝ ΤΟΝ ΑΔΕΛΦΟΝ ΑΥΤΟΥ[3]) ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ ΜΕΤΡΩΝ[4]).

Δέον ἐπίστασθαί σε, ὅτι τὸ ἰαμβικὸν μέτρον ἔχει πόδας ϛ', ἤτοι χώρας[5]). ἐπιδέχεται δὲ καὶ πόδας οὕτως τρεῖς δισυλλάβους καὶ τρεῖς τρισυλλάβους. καὶ δισυλλάβους μὲν τούσδε· ἴαμβον, σπονδεῖον, πυῤῥίχιον· τρισυλλάβους δὲ[6]), δάκτυλον, ἀνάπαιστον, χορεῖον. ἀλλ μὲν[7]) τῇ πρώτῃ καὶ τρίτῃ καὶ πέμπτῃ χώρᾳ πάντες οἱ πόδες[8]) ἀδιαφόρως εἰσέρχονται χωρὶς[9]) τοῦ πυῤῥιχίου· ἐν δὲ τῇ δευτέρᾳ καὶ τετάρτῃ καὶ ἕκτῃ χώρᾳ οἱ ἀπὸ βραχείας ἀρχόμενοι, τοῦ πυῤῥιχίου εἰς μόνην τὴν ἕκτην χῶραν εἰσερχομένου[10]), καὶ ἐν ἑτέρᾳ οὐδὲ μιᾷ[11]). χρὴ δὲ εὐρύθμως ποιεῖν

---

1) Variae Lectiones, quae heic referuntur, desumptae sunt ex Cod. Veneto CCCCLXXXIII. Bibl. Marcianae.

2) ἐλαχίστου deest. 3) πρὸς — αὐτοῦ desunt.

4) περὶ διαφόρων μέτρων. Περὶ τοῦ ἰαμβικοῦ μέτρου.

5) ὅτι ὁ ἴαμβος ἓξ μὲν ἔχει χώρας. 6) δὲ τούσδε.

7) ἀλλ' ἐν μέν. 8) οἱ πόδες desunt. 9) πλήν.

10) τοῦ πυῤῥιχίου διωρισμένως εἰς τὴν ἕκτην μόνην εἰσιόντος χῶραν.

11) οὐδαμῶς. Quae sequuntur a χρὴ δὲ εὐρύθμως ποιεῖν τοὺς ἰάμβους usque ad σπανίως δὲ τρίβραχυν περὶ κωμικοῖς, omnia desunt.

τοὺς ἰάμβους, καὶ τηρεῖν αὐτοὺς, ἵνα μὴ χαίνωσι. χαίνει δὲ ὁ ἴαμβος, ἐὰν εἰς τέλος μέρος λόγου τὸ φωνῆεν τελειοῖ, καὶ ἄρχεται ἀπὸ φωνήεντος, οἷον ἐνταῦθα, ἀλλ' ὦ σοφὴ ἄνασσα· ἐνταυθοῖ γὰρ ἡ σοφὴ χαίνει. ἐὰν δὲ οὐκ ἔστι τέλος μέρος λόγου, ἀλλ' εἰς τὴν ἐπερχομένην συλλαβὴν τελειοῖ, χάριν ὡς ἔχει τὸ πισίδιον, μετ' εὐμενείας τοὺς ἐμοὺς δέχου λόγους· ἰδοὺ γὰρ εἰς τὸ νει ἡ χώρα τελειοῖ, οὐ μὴν δὲ καὶ ὁ νοῦς. ἔστι δὲ τὸ κωμικὸν ἰαμβικὸν, ὃ δέχεται κατὰ μὲν τὰς περιττὰς χώρας, ἤγουν τὴν πρώτην, τὴν τρίτην, καὶ τὴν πέμπτην, ἴαμβον, ἢ τρίβραχυν, ἢ ἀνάπαιστον. τοῦτο δὲ παρὰ μὲν τοῖς κωμικοῖς συνεχῶς, περὶ [1]) δὲ τοῖς ἰαμβικοῖς καὶ τραγικοῖς σπανίως εὕρηται. Ἰστέον δὲ, ὅτι εἰσὶ τοῦ ἰαμβικοῦ μονόμετροι, δίμετροι, τετράμετροι, πεντάμετροι, καὶ ἑξάμετροι· κατὰ πόδας, καὶ κατὰ δίποδα. οὐ μὴν δὲ πλέον τούτων ἐξευρίσκεται μέτρον. κατὰ ποδὸς μονόμετρον, οἷον τὸ, φεῦ φεῦ, καί τινα τοιαῦτα παρὰ τραγικοῖς εὑρισκόμενα. ἡ δὲ ἕκτη χώρα δέχεται ἴαμβον ἢ πυῤῥίχιον, σπανίως δὲ τρίβραχυν περὶ [2]) κωμικοῖς. αἱ δὲ τοῦ ἰάμβου λεγόμεναι τομαὶ δύο εἰσὶ, εἴτε πενθημιμερὴς, εἴτε ἑφθημιμερής. ἀλλ' ἡ [3]) πενθημιμερὴς διὰ πέντε συλλαβῶν ἀπαρτίζεται, οἷον, ἥκω φέρων σοι. ἡ δὲ ἑφθημιμερὴς δι' ἑπτὰ ἀπαρτίζεται, οἷον, καρποὺς γεωργηθέντας [4]). ἰαμβικὸν δὲ ἐκλήθη τὸ μέτρον, ἐπείπερ οἱ ὑβρίζειν τινὰς καὶ λοιδορεῖν πάλαι

---

1) sic. 2) sic. 3) ἀλλ' ἡ μὲν.

4) οἷον, καρπὸν ἐκ κήπου τίον. Deinceps pro ἰαμβικὸν δὲ ἐκλήθη — οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει tantum haec leguntur: ἰδοὺ πᾶσα τοῦ ἰάμβου ἡ τεχνολογία, καθὼς ἡμῖν τε καὶ τοῖς κρειττόνως εἰδόσι δοκεῖ, ἀνελλιπῶς τε καὶ ἀπερίττως ἐκτέθειται (sic).

βουλόμενοι τούτῳ τῷ μέτρῳ ἐχρῶντο. ἰαμβίζειν γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ ὑβρίζειν. ἢ παρὰ ἰὸν βάζειν, ὅπερ ἐστὶ, ἰοῦ καὶ πικρίας ἀνάκεστα [1]) λέγειν ῥήματα. ἢ ἀπὸ Ἰάμβης οὕτω καλουμένης κόρης, ἥτις αἰσχρῶς ὑβρισθεῖσα ἀγχόνῃ τὸν βίον κατέλυσεν. ὅπερ καὶ αἱ Λυκαμιδες [2]) ἐπὶ Ἀρχιλόχου πεπόνθασι ποιήμασι. διὰ τοῦτο γὰρ συντιθεῖναι [3]) τὸν ἴαμβον ἐκ βραχείας λέγουσι καὶ μακρᾶς, διὰ τὸ τὴν ὕβριν, ἀπὸ βραχείας ἀρχομένην, εἰς μέγα καταλήγειν κακόν. μαρτυρεῖ δὲ τοῖς λεγομένοις καὶ ὁ σοφώτατος Ὅμηρος. οὕτως γὰρ λέγει περὶ τῆς ὕβρεως·

ἥ τ' ὀλίγῳ μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει.

Περὶ ἡρωϊκοῦ μέτρου.

Τὸ ἡρωϊκὸν μέτρον χώρας μὲν ἔχει ἕξ, πόδας δὲ ἐπιδέχεται ε̄, δύο δισυλλάβους καὶ τρεῖς τρισυλλάβους· καὶ δισυλλάβους μὲν σπονδεῖον καὶ τροχαῖον, τρισυλλάβους δὲ δάκτυλον καὶ ἀμφίμακρον καὶ παλιμβάκχειον. καὶ εἰς μὲν τὰς ε̄ χώρας ἅπαντες ἀδιαφόρως εἰσέρχονται, χωρὶς τοῦ τροχαίου, ἐν δὲ τῇ ἕκτῃ τῇ τελευταίᾳ ὁ σπονδεῖός τε καὶ ὁ τροχαῖος. ὁ μὲν [4]) ἀμφίμακρος ἑκάστοτε εἰς τέλος [5]) μέρος λόγου λήγει. ἄρχεται ἀπὸ φωνήεντος, καὶ εἰς φωνῆεν λέγει, καὶ τὴν ἑξῆς ἔχει ἀπὸ φωνήεντος ἀρχομένην [6]), οἷον, οὔτι μοι αἰτίη ἐσσὶ, θεοί νύ μοι αἴτιοι εἰσίν. ὁ δὲ παλιμβάκχειος ἔχειν θέλει τὰς β' μακρὰς συλλαβὰς αὐτοῦ, εἰς τέλειον μέρος λόγου ληγαύσας, καὶ τὴν τρί-

1) sic. 2) sic. 3) sic. 4) ὁ μέντοι. 5) εἰς τέλειον.
6) λήγει, καὶ τὴν ἑξῆς συλλαβὴν ἀπὸ φωνήεντος ἔχει ἀρχομένην.

την συλλαβὴν ἀπὸ φύσεος βραχείας [1]) ἀρχομένην, οἷον, πλάγχνη [2]), ἐπεὶ Τροίης ἱερὸν πολίεθρον ἔπεσε [3]). τομὰς δὲ ἔχει τὸ παρὸν μέτρον τέσσαρας, ὧν ἡ μὲν α ἐστὶ πενθημιμερὶς [4]), ἥτις γίνεται ἐν τῇ τελευταίᾳ συλλαβῇ τῆς λέξεως τῆς ἀπαρτιζούσης τὴν δευτέραν χώραν, ἀρ [5]) τυγχανούσης τῆς τρίτης τοῦ στίχου χώρας τῆς αὐτῆς συλλαβῆς, οἷον, Μῆνιν ἄειδε θεά. τὸ γὰρ ᾱ τελούμενον ἐστὶ τῆς λέξεως τῆς ἀπαρτισάσης [6]) τὴν δευτέραν χώραν. ἀρχὴ δὲ τῆς τρίτης χώρας, εἰς ἣν καὶ ἡ πενθημιμερὴς τομὴ γίνεται. ἡ δὲ δευτέρα τομὴ ἐστὶν ἑφθημιμερὴς, ἥτις γίνεται ἐν τῷ τέλει τῆς λέξεως τῆς ἀπαρτιζούσης τὴν τρίτην χώραν· ἧς τινὸς λέξεως ἡ ἐπὶ τέλους συλλαβὴ ἀρ ἐστὶ τῆς δευτέρας [7]) τοῦ στίχου χώρας, οἷον ἀκολούθως εἰπεῖν, πολλὰς δ' ἰφθίμους ψυχάς. ἡ γὰρ χας τῆς ἀπαρτισάσης λέξεως τὴν τρισυλλάβιν τελευταει συλλαβὴν ὑπάρχουσα, ἀρ ἐστὶ [8]) τῆς τετάρτης χώρας, εἰς ἣν ἀπαρτίζεται ἡ ἑφθημιμερὴς τομή. ἡ δὲ τρίτη τομὴ ἐστὶ τροχαϊχὴ [9]), ἥτις καὶ φερωνύμως παρά τισι κέκληται. γίνεται δὲ αὕτη ἐν τῇ τρίτῃ χώρᾳ προ μιας [10]) συλλαβῆς τοῦ τέλους τῆς χώρας ἐν τέλει λέξεως, οἷον, ἄνδρα μοι ἔνεπε μοῦσαι ἡ δὲ τετάρτη τομὴ ἐστὶ βουκολικὴ, ἥτις ἐν τέλει τῆς τετάρτης χώρας τε καὶ λέξεως γίνεται, οἷον ἀκολούθως, ἄνδρα μοι ἔννεπε μοῦσα πολύτροπον. καὶ ταῦτα μὲν

---

1) ἀπὸ φωνήεντος βραχέος. 2) πλάχθη. 3) πτολίεθρον ἔπερσε. 4) lic. 5) ἀρκτικῆς. 6) ἀπαρτιζούσης. 7) ἀρκτικὴ ἐστὶ τῆς τετάρτης.

8) ἀπαρτισάσης λέξεως τὴν τρίτην χώραν τελευταία συλλαβὴ ὑπάρχουσα ἀρκτική ἐστι.

9) ἐστι τροχαϊκή. 10) πρὸ μιᾶς.

ὡς ἐν συντόμῳ περὶ τοῦ ἰαμβικοῦ μέτρου [1]) καὶ ἡρωικοῦ ἀρκούντως δ' εἴληπται. [2]) Ἡρωϊκὸν δὲ καλεῖται τὸ μέτρον, ἐπεὶ καὶ Ὅμηρος ὁ ποιητὴς τὰς τῶν ἡρώων πράξεις διεξιὼν τούτῳ τῷ μέτρῳ ἐχρήσατο. Τοῦ δὲ ἡρωϊκοῦ μέτρου διαφοραὶ εἰσὶν ἑπτά· κατενόπλιον, περιοδικὸν, σαπφικὸν, βουκολικὸν, ὑπόρυθμον, τέλειον, πολιτικόν. καὶ κατενόπλιον μὲν ἐστὶ δύο δάκτυλοι, καὶ σπονδεῖον [3]), καὶ πάλιν δύο δάκτυλοι, καὶ σπονδεῖος, οἷον, ὡς φάτο δακρυχέων, τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων. περιοδικὸν ἐστὶ τὸ ἔχον δάκτυλον, εἶτα σπονδεῖον, οἷον, οὐλομένην, ἣ μυρία Ἀχαιοῖς ἄλγε' ἔθηκε. σαπφικὸν ἐστὶ τὸ ἄρχον ἀπὸ σπονδείου, καὶ πάλιν λῆγον εἰς αὐτὸν, οἷον, ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί. βουκολικὸν δὲ ἐστὶ, τὸ κατὰ τρεῖς πόδας ἀπαρτίζον καὶ λῆγον, οἷον, ἐξ ἐπιδιφριάδος πυμάτος [4]) ἱμᾶσι δέδεντο. ὑπόρυθμον δὲ ἐστὶ τὸ κατ' ἕκαστον πόδα ἀπαρτίζον μέρος λόγου, οἷον, ὕβριος εἵνεκα τῆς τε [5]), σὺ δ' ἴσχεο πείθεο δ' ἡμῖν. τέλειον δὲ τὸ ἔχον ὅλα τὰ μέρη τοῦ λόγου, πρὸς δ' ἐμὲ τὸν δύστηνον, ἐπιφρόνεον τ' ἐλέησον. πολιτικὸν, τὸ ἄνευ πάθους ἢ τρόπου γινόμενον, οἷον, ἵππους δὲ ξανθοὺς ἑκατὸν καὶ πεντήκοντα. στίχος ἐστὶ τῆς δεκτικῆς ἔμμετρον μέγεθος. εἴδη δὲ στίχων ἐννέα· ἰσόχρονος, ἀπαρτισμένος, μείουρος, λαγαρὸς, τραχὺς, μαλακοειδὴς, κακόφωνος, λογοειδής. καὶ ἰσόχρονος μὲν ἐστὶ ὁ τὰ μεγέθη τῶν συλλαβῶν ἀπὸ πρώτου μέχρις ἐσχάτου τὰ αὐτὰ ἔχων· τὼ δ' ἐν Μεσσήνῃ ξυμ-

1) *μέτρου* deest.

2) Inde ab *Ἡρωϊκὸν δὲ* usque ad finem huius sectionis *Περὶ ἡρωϊκοῦ μέτρου* omnia desunt.

3) sic. 4) sic. 5) sic.

λήλοιιν. ἀπηρτισμένος, ὁ τὴν δόξαν πᾶσαν ἑαυτῷ, οἷον, ὡς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ. ἀκέφαλος, ὁ ἀπὸ βραχείας ἀρχόμενος, οἷον, ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένας καὶ κατὰ θυμόν. λαγαρὸς, ὁ κατὰ τὴν μέσην συμ[illegible][1]) μὴ σωζόμενος, ὃς καὶ μεσόκλαστος καλεῖται· βῆν εἰς Αἰόλου κλυτὰ δώματα, τὸν δ' ἐκίχανον· ἐνταῦθα γὰρ ὁ δεύτερος ποὺς ἐξ ἀνάγκης τροχαῖος ἐστὶν, καὶ μὴ ἀπηρτισμένος. μείουρος, ὁ τὴν παρὰ τέλευτον[2]) ἐλλείπουσαν καὶ βραχεῖαν ἔχων· Τρῶες δ' ἐῤῥίγησαν, ὅπως ἴδον αἴολον ὄφιν. τραχὺς ἐστὶ ὁ τῶν φθόγγων συνιστὰς τὸν ῥυθμόν· τριχθά τε καὶ τετραχθὰ διατρυφθὲν[3]) ἔκπεσε χειρός. μαλακοειδὴς, ὁ καλῶς καὶ οὐ βιαίως προτίπτων[4]) ταῖς ἀκοαῖς· αἵματι οἱ δεύονται[5]) κόμαι, χαρίτεσσιν ὅμοιαι. κακόφωνον[6]), ᾧ πολλὰ φωνήεντά εἰσιν, οἷον, φύη ἀθηρηλοιγὸν ἔχειν ἀναφαιδίμω ὤμω[7]). λογοειδὴς, ὁ καθαρὸς, οἷον, ἵππους δὲ ξανθοὺς ἑκατὸν καὶ πεντήκοντα.

Περὶ τοῦ ἐλεγείου[8]) μέτρου.

Τοῖς ἐλεγείοις ἐχρῶντο οἱ παλαιοὶ ὡς[9]) θρηνητικοῖς οὖσιν· ἔλεγοι γὰρ οἱ θρῆνοι λέγονται. ἀεὶ δὲ τοῖς ἡρωϊκοῖς συζεύγνυνται στίχοις. συνίσταται οὖν τὸ ἐλεγεῖον μέτρον ἐκ πενθημιμερῶν τόμων ἑκατέρας ἐχούσας συλλαβὰς ἀδιαφόρως[10]). πόδες δὲ αὐτῆς δάκτυλος καὶ σπονδεῖος μόνος[11]). πολλάκις μὲν ἀπὸ σπονδείου μόνου γίνονται αἱ τομαί· πολλάκις δὲ ἐξ ἀμφο-

---

1) sic. 2) sic. 3) sic. 4) sic. 5) sic. 6) sic. 7) sic. 8) *Περὶ τοῦ ἐλεγειακοῦ.* 9) παλαιοὶ ἐν ταῖς κηδείαις, ὡς. 10) συλλαβὴν ἀδιάφορον. 11) αὐτοῦ δάκτυλος καὶ σπονδεῖος μόνοι.

τέρων ἅμα, οιω, μνείη εὐσεβείης ἐν κρα τοῦτο μὲν ἐξ ἀμφοῖν. ἐκ δακτύλου δὲ μόι ἔκμαθε Θεοδοσίου γραμματικῆς [1]) κανόνας. ἀπὸ

δείου δὲ μόνου, οἷον, μὴ κλήθειν σὺ ποίει μηλωσ τε [2]). ἐν συζυγίαις δὲ ἡρωϊκὸν, ὡς [3]) εἴρθη μὲν, οἱ πόδες καθίστανται. προλεγομένου τοῦ [4]) στίχου τὸ ἐλεγεῖον ἐπάγεται. οἷον, ἦρα μήτερ ἐμὴ τί μ' ἔτεκτες, ικτες ἐπεὶ πολύμοχθον ἔτιχθες. ἐλεγεῖον. τίπτέ κε τῷδε βίῳ δόκας [5]) ἀκανθοφόρῳ. Ἠ ῥὰ μὲν δὴ ἐπήρασας ἀκηδέα ὡς τίς ει α ar θαῦμα δάμας οὔδε οὐ φιλέουσα τέκες [6]).

Περὶ ἀνακρεοντείων [7]).

Τοῦ Ἀνακρέοντος ἐπιδέχονται μὲν ἀνάπεστον καὶ δύο ἰάμβους καὶ μίαν περιττὴν συλλαβὴν, οἷον, ἀπὸ τοῦ λίθου τὸ ῥεῖθρον. λέγονται δὲ διὰ μέλους ἀνατέσσαροι τέσσαρες, οἷον, φίλε μὴ λάθη ἐμοῖο, ἀρετῆς τρόποισι λάμπων, ἀγάπης ὅρους φυλάττων, μοναχοῦ ἄριστε Μάρκε. τὸ δὲ κουκούλιον γίνεται ἐξ ἐλάσσονος καὶ μείζονος, τουτέστιν ἀπὸ πυῤῥιχίου καὶ

1) ῥηματικοῖς. 2) μή μου λήθην σὺ ποίει μὴ λῶστε.
3) δὲ στίχων ἡρωϊκῶν ὡς. 4) γὰρ τοῦ.
5) Pro ἦρα — δόκας: μῆτερ ἐμὴ, τί μ' ἔτικτες, ἐπεὶ πολύμοχθον ἔτικτες· τίπτε με τῷδε βίῳ δῶκας.
6) Pro Ἠ ῥὰ μὲν — τέκες: εἰ μὲν δὴ ἐπέρησας ἀκηδέα ὥς τις ἄσαρκος, θαῦμα μέγ', εἰ δ' ἐδάμης, οὐ φιλέουσα τέκες.
7) Περὶ ἀνακρεόντων. Totum autem hoc τμῆμα ſic ſcriptum legitur: Οἱ ἀνακρέοντες συνίστανται ἐξ ἀναπαίστου καὶ διϊάμβου καὶ περιττευούσης συλλαβῆς· ἕκαστος δὲ γίνεται ὀκτασύλλαβος. λέγονται δὲ διὰ μέλους ἀνὰ δ'. οἷον, φίλε μὴ λάθοις ἐμεῖο, ἀρετῆς τρόποισι λάμπων· ἀγάπης ὅρας φυλάττων. μοναχῶν ἄριστε Μάρκε. Reliqua deſunt.

σπονδείου, οἷον, ἀρετῆς εὐστεφάνου ἄνθεα δρέψας. ἔστι δὲ καὶ οὕτως μετρῆσαι. ἡ ᾱ χώρα ἀνάπαιστον, ἡ β̄ ἴαμβον, ἡ τρίτη ὁμοίως, ἡ δὲ τετάρτη ἀδιάφορον συλλαβήν. οἷον, ἀπὸ τῆς φίλης ἐρήμου. τὸ δὲ κουκούλιον, ἡ πρώτη, καὶ τρίτη, καὶ ε̄ χώρα πυῤῥίχιον, ἡ δευτέρα, καὶ ἡ τετάρτη, καὶ ἡ ἕκτη σπονδεῖον. οἷον, Ζαχαρίου μεγάλου πάγκλυτε κοῦροι.

Περὶ ἀνακλωμένου.

Τῶν ἀνακλωμένων ἔστιν εἴδη, εν μὲν ἀπὸ χορειάμβου [1]), καὶ ἀναπέστου, καὶ δακτύλου, καὶ τροχαίου, ἢ σπονδείου ἀντὶ τροχαίου ἐν τῇ ἐσχάτῃ χώρᾳ λαμβανομένου. συνίσταται δὲ ὁ χορίαμβος ἐκ μακρᾶς καὶ δύο βραχειῶν καὶ μακρᾶς, οἷον, Χριστιανῶν μακάρων ἔλθετε παῖδες. ἕτερον δὲ ἐκ τριῶν ἰωνικῶν ἀπελασσόνων, τουτέστι [2]) ἐκ πυῤῥιχίου καὶ σπονδείου, τρισσῶς λαμβανόμενον [3]), οἷον, Σολύμων εὐαγέων ἔρματα φαίνων. τὸ δὲ τρίτον ἐκ τρίων [4]) ἰωνικῶν ἀπομειζόνων *) συνίσταται, ἀνάπαλιν δὲ [5]) τοῦ δευτέρου εἶδρυς, τουτέστιν ἐκ σπονδείου καὶ πυῤῥιχίου, οἷον, κάλλη Σολύμων ἀγλαὰ μέλπων μέγα. τομὴ δὲ αὐτοῦ μία ἡ ἑφθημιμερὴς καθέστηκεν, οἷον, κανόνων ἠγαθέων τέθμια τέμνει [6]) τέμνων. ταῦτα καὶ περὶ τοῦ ἀνακλωμένου [7]).

Περὶ συνιζήσεως.

Συνίζησις δὲ ἐστὶ σύλληψις δύο συλλαβῶν εἰς μίαν ἐν τῷ βαίνειν, δύο μακραὶ εἰς μίαν, δύο ◡ ◡

1) Τρία τῶν ἀνακλωμένων ἐστὶν εἴδη, ἓν μὲν ἀπὸ χοριάμβου.
2) ἀπ' ἐλάσσονος, τουτέστιν. 3) λαμβανομένων.
4) τριῶν καί. *) sic. 5) δὲ abest. 6) τέμνει abest.
7) τοῦτο καὶ περὶ τοῦ ἀνακλωμένου σοι δεδήλωται.

εἰς μίαν. δύο μὲν μακραὶ εἰς μίαν, ὡς ἐν τῷ, ἤλαθε τὴν οὐκ [1]) ἐνόησεν, ἢ οὐχ ἅλις ὅτι γυναῖκας ἀνάλκιδας [2]). δύο δὲ βραχεῖαι εἰς μίαν, ὡς τὸ, ῥέα μὲν γὰρ βριάει, Ἕκτορος δ' ἀμφὶ νέκυι καὶ βραχεῖαν [3]) καὶ μακρὰν εἰς μίαν μακρὰν, ὑμέων οἵπερ ἔασι, τὸ ε̄ καὶ τὸ ω̄ εἰς μίαν μακράν. μακρᾶς δὲ [4]) βραχείας, τὸ δαέρων [5]) γαλόων. ὅτι δὲ τὸ δα̅ μακρὸν [6]) ἐστὶ, δῆλον ἐκ τοῦ, δαὴρ αὖτ' ἐμὸς, αὐτοκασίγνητος καὶ δαέρα. ὅτι δὲ τὸ, Ἕκτορ ἐμῷ θυμῷ. δύναται συνεστάλθαι τὸ ᾱ. καὶ συνίζησις δύναται καὶ κατὰ συστολὴν, ὡς ἐπὶ τοῦ, οὐδὲ μὲν οὐδὲ Τρῶας ἀγήνορας εἴασεν Ἕκτωρ. ἄλογος συστολὴ διὰ τὸ μέτρον. ὡς καὶ ἄλογος ἔκτασις, ὡς ἔνθα, φίλε [7]) κασίγνητε, καὶ, ἀνέρες ἐστὲ φίλοι. ἐκτέταται γὰρ καὶ συνέσταλται ἔνθα [8]), ὅς δέ κ' ἀνὴρ μενέχαρμος, καὶ, Ἄρες Ἄρες βροτολοιγέ. δύο δὲ βραχεῖαι εἰς μίαν βραχεῖαν, ὡς τὸ [9]), ἀστέρι ὀπωρινῷ, χαῖρε δὲ τῷ ὄρνιθι Ὀδυσσεὺς, ἤρατο δ' Ἀθήνη. ἔστι δὲ καὶ ἄλλα εἴδη συνιζήσεως. βραχείας κοινῆς [10])· χρυσέῳ ἀνὰ σκήπτρῳ, δενδρέῳ ἐφεζόμενος. καὶ ὅταν δύο βραχειῶν [11]) φύσει εἰς μίαν κοινὴν δεχόμεθα· τρέε δ' Ἀΐδης ἐν ὄρεσσιν [12]). ἐπεὶ γὰρ ἐνταῦθα δίχρονον οὐκ ἔστι, ἵνα μακρὰν ποιήσωμεν, ὡς ἐπὶ τοῦ, ῥέα μὲν γὰρ βριάει, ἀρκούμεθα τῇ τελευταίᾳ τῆς λέξεως συλλαβῆς κατὰ συνεκ-

1) εἰς μίαν μακρὰν, δύο ◡ ◡ εἰς μίαν μακρὰν, βραχεῖαν καὶ μακρὰν εἰς μίαν μακρὰν, δύο μὲν μακραὶ εἰς μίαν, ὡς ἐν τῷ, ἦ λάθετ' ἢ οὐκ. 2) ἀνάλκιδας deest.

3) μίαν μακρὰν, ῥέα μὲν γὰρ βριάει, Ἕκτορος ἀμφὶ νέκυϊ, τοῦ ε̄ εἰς τὴν υ̅ι̅ δίφθογγον συναιρουμένου, καὶ βραχεῖαν.

4) δὲ καί. 5) τὸ ἐναντίον, δαέρων. 6) τὸ ᾱ μακρόν. 7) Pro ὡς ἔνθα, φίλε: ἐν τῷ, φίλε. 8) ἔνθα deest. 9) ὡς τὸ delunt. 10) καὶ κοινῆς. 11) βραχείας. 12) ἐν ἐνέροισιν.

φώνησιν. ἡ γὰρ βραχεῖα λέγουσα εἰς μέρος λόγου ἀντὶ μακρᾶς παραλαμβάνεται. ἐὰν δὲ ὦσιν ἐν μέσῳ λέξεων [1]) αἱ δύο βραχεῖαι, ἀπαραμύθητον ἔσται· πλαίοντες κεν [2]) μνηστῆρες. οὐκέτι οὖν δύναται [3]) ἐκκρῖναι ὅτι τῶν φωνηέντων βραχείων ὄντων, οὔτε τῶν κειμένων ἔνι παραλαβεῖν· οὐ γὰρ τελικὸν ἐστί· διὸ χωλὸν ἔμεινε. τὸ τοίνυν, ἢ γύναιον ἀνὰ ἄστυ, οὕτω διαιροῦμεν βαίνοντες, ἠγῖἴον [4]). ὁ ᾱ ποὺς [5]) σπονδεῖος, ὁ δὲ β̄ δάκτυλος κοινὴν ἔχων τὴν πρώτην. οὐκ ἐδύνατο δὲ ὁ ᾱ δάκτυλος εἶναι· ἀεὶ γὰρ ἐκτείνεται τὸ ῑ. τῶν γέ σφιν [6]) ἕκαστος ἐπ' ἤματι μῆλον ἀγίνει. τὸν δὲ πάροιθεν ἀγίνεσκον νέοι ἄνδρες. ἐπὶ δὲ τοῦ, ἠρίθμεον ἄρχαν δὲ μετ' ἀμφοτέροισιν, οὐ ποιοῦμεν συνίζησιν. οὐδὲ τὸν πρῶτον πόδα ποιοῦμεν σπονδεῖον, ὡς ἐπὶ τοῦ, ἠγίνεον, ἀλλὰ κοινὴν τὴν δευτέραν συλλαβὴν, διὰ τὸ ἄφωνον καὶ ἀμετάβολον, ὡς ἡ [7]) παρὰ Θεοκρίτῳ, ἄμμες δ' οὐδὲ λόγου τινὸς ἄξιαι οὐδὲ ἀρίθμηται· ὁ πέμπτος ποὺς δάκτυλος. ἐνίοτε μέντοι βραχεῖαν καὶ θήσει μακρὰν συνεκφωνοῦμεν, ὡς τόδε, καλλίων δέ μ' ἔτικται πολέες ἄνδρασι. τὸν δ̄ πόδα ποιοῦμεν σπονδεῖον· ἡ γὰρ γ̄ συλλαβὴ, τὰ πολέες, ἐστὶ θέσει μακρά. ὅμοιον κακεινοις εἶπον, ὁππότε τίς κάλεον [8]) μήτηρ τε πατήρ τε. περὶ δὲ καὶ δύο [9]) ἐκφωνήσεις πολλάκις κατὰ τὸν στίχον εὑρίσκονται, ὡς ἐν ἐκείνῳ, ἡ δὲ φιλομήδεα, ὅτι μηδέων ἐξεφαάνθη. ἢ καὶ παρ' Ὁμήρῳ τὸ ὅμοιον, ὤρρεων δὲ στήθεα ῥαίνονται [10]). ὁ μὲν γὰρ πρῶτος

1) λέξεως. 2) ἐστι· πλεόνες κε. 3) γὰρ δυνατόν. 4) ὑγιεινά. 5) ποῦς ἐστι. 6) τῶν ἐν γένεσιν. 7) ὡς καί. 8) κἀκεῖνο εἶπον, ὁπότε τις κεῖθι. 9) παρὰ δὲ Ἡσιόδῳ καὶ δύο. 10) ῥαίνοντο.

ποῦς ὁμοίαν ἔχει τὴν συνεκφώνησιν τὰ, κάλεον μήτηρ τε· ὁ δὲ τρίτος ὁμοίαν [1]) τὸ, ῥέα μὲν γὰρ φεύγεσκεν ὑπ᾽ ἐκ τόρων ὀρυμαγδοῦ [2]). ὅτι διαφέρει ἡ συνίζησις τῆς συναλιφῆς [3]) γενικῷ τρόπῳ, ὅτι ἡ συναλιφὴ [4]), ὡς γράφεται, καὶ λέγεται, ἡ δὲ συνίζησις ἐν τῷ βαίνειν [5]) ὁμοῦ ὑπὲρ θεραπείας τοῦ μέτρου τὰς δύο συλλαβὰς κατὰ μίαν προσφορὰν [6]) μόνον συναιροῦμεν. διὸ καὶ συνίζησις λέγεται· συνιζάνειν γὰρ λέγομεν τὸ ἔκ τινος μείζονος εἰς ἔλαττον συμπίπτειν· εἴρηται δὲ συνίζησις ἀπὸ τοῦ συμβαίνοντος περὶ τοὺς καθεζομένους, ἐπειδὴ οὗτοι καθεσθέντες συστέλλουσι τὸ μέγεθος [7]).

Κατὰ πόσους τρόπους γίνεται χωλὰ τὰ ἔπη; κατὰ ἕξ. κατὰ [8]) πλεονασμὸν, ἢ ἔνδειαν. ὅταν μὲν οὖν ἡ ἀρχὴ πλεονάσει, προκέφαλον [9]) καλεῖται, ὡς τὸ, ἢ εἰπέμεναι δμωῇσιν Ὀδυσσῆος θείοιο· περιττὴ γὰρ ἡ πρώτη συλλαβὴ, ἧς ἀφαιρεθείσης σῶον γίνεται τὸ ἔπος. ὅταν δὲ ἐνδεήσῃ, ἀκέφαλον [10]), ὡς τὸ, ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο· λείπει γὰρ τῷ πρώτῳ ποδὶ πρὸς τὴν σύστασιν τοῦ μέτρου χρόνος. ὅσα δὲ ἐν τῷ μέσῳ πλεονάσει, λαγαρὰ καλεῖται, ὡς τὸ, θώρηκας ῥήξειν δηΐων ἀμφὶ στήθεσφιν· ὑπερβαίνει δὲ τὴν [11]) ὡρισμένην συμμετρίαν. τὰ δὲ ἐνδίονται [12]) καλεῖται σφηκοειδῆ, ὡς τὸ, βῆν ἐς [13]) Αἰόλου

1) ὁμοίως. 2) ὑπ᾽ ἐκ Τρώων ὀρυγμαδοῦ. 3) συναλοιφῆς. 4) συναλοιφὴ. 5) καίνειν. 6) προφορὰν.

7) Videntur haec ut plurimum convenire cum iis, quae leguntur in fine opufculi antecedentis περὶ ποδῶν p. 71 fqq.

8) Γίνεται κατὰ ἓξ τρόπους τὰ ἔπη χωλά. ἤτοι κατὰ.

9) πλεονάσῃ, προκέφαλος. 10) ἀκέφαλος. 11) γὰρ τὴν.

12) Pro τὰ δὲ ἐνδίονται: τὰ ἔμπαλιν ἐνδίονται.

13) Pro τὸ, βῆν ἐς: βήνεις.

κατὰ δώματα· χρῄζει γὰρ ὁ δεύτερος τοῦ χρόνου. τὰ δὲ πρὸς τῷ τέλει πλέον ἔχοντα τοῦ μέτρου δολιχοῦρα καλεῖται, ὡς τὸ [1]), λεπτὸν καὶ χάριεν περὶ ζώνην βάλλετ' ἰξυΐ. τὰ δὲ ἐνδέοντα πάλιν μειοῦρα, ὡς τὸ, Τρῶες δ' ἐῤῥίγησαν, ὅπως [2]) ἴδον αἰόλον ὄφιν.

Περὶ δὲ ἐκείνων καὶ τῶν ὁμοίων, Βορέης καὶ Ζέφυρος τώ τε Θρήκηθεν ἄητον, πλέονάς κε μνηστῆρες ἐν ὑμετέροισι δόμοισι, ζήτησιν [3]) ἂν εἴη. ἔχουσι γὰρ τοὺς πρώτους πόδας τετραχρόνους ἰσοδυναμοῦντας τῷ δακτύλῳ, καὶ οὐχὶ [4]) ἀκεφάλους ἐστὶ εἰπεῖν· οὐ γὰρ ἐλλείπει χρόνος· οὔτε προκεφάλους· οὐ [5]) γὰρ περιττεύει. χρὴ δὲ κατὰ λόγον ἀκεφάλους αὐτοὺς εἰπεῖν [6])· κεφαλὴν γὰρ ἔπους καθόλον [7]) τὴν ἄρχουσαν μακρὰν χρὴ νομίζειν εἶναι. ἐὰν οὖν αὕτη τῆς οἰκείας χώρας ἐκπέσῃ, ἐὰν ταύτης βραχεῖα τεθεῖν, ἀκέφαλος [8]) ἐξ ἀνάγκης τὸ ἔπος λέγεται. ὅτε δὲ τῆς εὐφωνίας ὁ ποιητὴς μᾶλλον ἐγένετο ἢ τοῦ μέτρου, δῆλον ἐκ τοῦ, Τρῶες δ' ἐῤῥίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν. τάχα δὲ καὶ [9]) τῆς τοῦ φ δάσεως [10]) ὄντος, ᾔσθετο ὁ ποιητὴς ἐκ φωνήσεως, πλέον τι ἐχούσης διὰ τὴν σφοδρότητα τοῦ πνεύματος, καὶ ἀρκεῖν ἡγήσατο τὸ πνεῦμα πρὸς ἀναπλήρωσιν τοῦ χρόνου. οὕτω καὶ ἐπὶ τοῦ, Ζεφυρείην πνέουσα, τὸ αὐτὸ ἂν εἴη. Ἡλιοδώρῳ δὲ δοκεῖ ἐπὶ πολλῶν τὴν δασεῖαν πλέον τι νέμειν [11]). ἔτι δὲ καὶ τὸ, ἐπειδὴ λεῖπε δώματα Καλυψοῦς ἠϋκόμοιο, ἀκέφαλον, τὸ, ἕως ἐγὼ περὶ ἐκεῖνο πολὺν βίοτον ξυναγείρων, ἕως ὁ ταῦτ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν. γελοῖον ἂν εἴη [12]) οἱ τὴν μέσην μα-

1) οἷον. 2) ἐπεὶ. 3) ζητήσιν. 4) ἔστι. 5) προκεφάλους ἔστι εἰπεῖν, οὐ. 6) καί. 7) καθόλου. 8) ἀκέφαλον. 9) ὄφιν· ἐδύνατο γὰρ εἰπεῖν, Τρῶες δ' ἐῤῥίγησαν, ὅπως ὄφιν αἰόλον ἴδον· τάχα δὲ ἐκ. 10) δασέος. 11) μέλλειν. 12) γελοῖοι ἂν εἶεν.

κραν προτάττοντες, ἐν τῷ ποδίζειν τὸ ἕως ὡς λέγοντες [1]), καὶ τὸ βορέης η' βόρε [2]). εἰ δὲ δεῖ τέχνη βοηθεῖν τῷ στίχῳ, προενεκτέον τὸν πρῶτον πόδα ως, ὡς [3]) συνιζήσεως γενομένης εἰς τὴν ως [4]), κοινῆς οὔσης τῆς δευτέρας κατὰ τὸν τρίτον τρόπον τῆς κοινῆς. τὸ δὲ, ἕως ἐγὼ περὶ κακεῖνα, ἀβοήθητα ἐστὶ [5]), καὶ τάττεται εἰς τὸ τῶν ἀκεφάλων· οὐ γὰρ [6]) ἐδύνατο βοηθεῖσθαι. ὡς τὸ, ἕως τ' αὐθ' [7]) ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν [8]). ἐπεὶ οὐκ ἐξῆλθεν εἰς μέρος λόγου ἡ βραχεῖα, ὡς τὸ, ἐγὼ περὶ ὁμοίως καὶ τὸ, ἐπίτογος [9]) βέβληται βοὸς ῥινοῖο τετυχώς. καθότι ἀντὶ μακρᾶς παρελήφθη ἡ πρώτη τοῦ ποδὸς συλλαβή. καὶ βραχεῖα οὖσα ἀκέφαλον χρὴ καλεῖν.

Τέλος σὺν θεῷ περὶ συνιζήσεως καὶ περὶ χολαινόντων ἐπῶν. [10])

Περὶ τῶν ἐν στίχοις παθῶν. [11])

Πάθη στίχων ἕξ· προκέφαλος, προκοίλιος, λαγαρὸς, μείουρος, μακροσκελὴς, ἀκέφαλος. ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο. ἀκέφαλος εἴρηται, παρ' ὅσον οὐδέποτε στίχος ἐστὶ ἀπὸ βραχείας ἀρχόμενος. προκέφαλος· ἢ οὐχ ἅλις, ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις. ἢ ἡ συλλαβὴ πλεονάζει ἐν τῷ μέτρῳ, καὶ ἐπὶ τοῦτο

1) ἕως, ὥες λέγοντες. 2) Pro η' βόρε: ἠσβόρέ. 3) προενεγκεῖον τὸν πρῶτον π' ἰως, &c. 4) εἰς τὸ ω̄. 5) ἀβοήθητόν ἐστι. 6) Pro οὐ γὰρ — εἰς τὸν τῶν ἀκεφάλων τόπον. 7) ὡς τὸ, ἕως ὃ ταῦθ'. 8) καὶ κατὰ θυμόν desunt.

9) Pro ὡς τὸ, ἐγὼ — ἐπίτογος: ἕως, ἐγὼ — ἐπίτονος.

10) Τέλος — ἐπῶν d . . Sequitur immediate Περὶ τῶν ἐν τοῖς στίχοις παθῶν.

11) Edidit hoc ex Cod. Veneto Cl. Villoifon in fua Diatriba pag. 85. partis ferundae una cum infequenti capite Herodiani περὶ στίχων τῆς λέξεως quem vide et confer.

προκέφαλος ἐκλήθη, προκοίλιος δέ ἐστι οὗτος· Πατρόκλου ποθέων ἀνδρότητα καὶ μένος ἠΰ. ἡ δύο συλλαβὴ ἐν τῷ μέσῳ τοῦ στίχου πλεονάζει, καὶ ἐπὶ τῶν προγαστόρων ὄγκον ἐντίθησιν, ὅθεν προκοίλος[1]) εἴρηται. λαγαρὸς δέ· αἰδοῖος τέ μοι ἐσσὶ, φίλε ἑκυρὲ, δεινός τε. ἐνταῦθα οἱ δύο πόδες, οἱ ἐν τῷ μέσῳ, ἀπὸ βραχείας ἄρχονται, καὶ συστέλλουσι τὴν θέσιν τοῦ μέτρου. λαγαρὸν δὲ λέγεται τὸ ἐσφιγμένην ἔχον τὴν γαστέρα. μείουρος· Τρῶες δ' ἐῤῥίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν. ὁ ἐν τέλει ποὺς ἀπὸ βραχείας ἤρξατο, ὅπερ μειοῖ τὸν πόδα ἐν τῇ οὐρᾷ, καὶ διὰ τοῦτο μείουρος καλεῖται. μακροσκελής· Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα. ὁ ἐν τέλει ποὺς τρισύλλαβος, ὅπερ ἀλλότριον στίχον, καὶ διὰ ταῦτα μακροσκελὴς, ὑπὲρ δύο συλλαβῶν ἔχων τὸν τελευταῖον πόδα.

---

1) sic.

ΗΡΩΔΙΑΝΟΥ ΠΕΡΙ ΤΗΣ ΛΕΞΕΩΣ ΤΩΝ ΣΤΙΧΩΝ.

Στίχος ἐστὶ καὶ λέξεως δηλοτικῆς σύμμετρος καὶ μέγεθος. εἴδη δὲ στίχων εἰσὶ ιβ᾽ ἰσόχρονος, ἀπηρτισμένος, ἀκέφαλος, λαγαρὸς, μείουρος, τραχὺς, μαλακοειδὴς, κακόφωνος, λογοειδὴς, προκέφαλος, σφηκίας καὶ δολιχουρος. ἰσόχρονο μὲν οὖν ἐστὶ ὁ καὶ τὰ μεγέθη τῶν συλλαβῶν καὶ τοὺς πόδας ἀπὸ τῶν πρώτων ἄχρη[1] *τῶν ἐσχάτων ἔχων, οἷον, τώδ᾽ ἐν Μεσσήνη ξυμβλήτην ἀλλήλοι ἀπηρτι- ..ος δὲ, ὁ τὴν διάνοιαν πᾶσαν ἔχων ἐν ἑαυτῷ, οἷον, ... πῶν ἐξέσσυτο φαίδιμος Ἕκτωρ. ἀκέφαλος δὲ ἐστὶν ... βραχείας ἀρχόμενος, οἷον, ἐπειδὴ νῆας τε καὶ Ἑλλ. ποντον ἔκοντο*[2]*. λαγαρὸς, ὁ κατὰ μέσον τὴν συμπλοκὴν μὴ σώζων, τὴν θέσιν μὴ σώζων, οἷον, Νέστωρα δ᾽ οὐκ ἔλαθεν ἡ ἀχὴ πίνοντά περ ἔμπης. μείουρος δὲ, ὁ κατὰ τὸ τέλος τὴν θέσιν μὴ σώζων, καὶ τὴν παρατέλει συλλαβὴν βραχεῖαν ἔχων, οἷον, Τρῶες δ᾽ ἐῤῥίγησαν, ὅπως ἴδον αἰόλον ὄσφιν*[3]*. τραχὺς δὲ ἐστὶ ὁ τὸν ῥύζον*[4] *τῶν φθόγγων συνιστὰς, ὡς, τριχθά τε καὶ τετραχθὰ διατρυφθὴν*[5]*) κάππεσε χειρός. μαλακοειδὴς ἐστὶν ὁ λείως ἐπιπίπτων ταῖς ἀκοαῖς, οἷον, αἵματί οἱ δεύοντο κόμαι, χαρίτεσσιν ὁμοῖαι. κακόφωνος ἐστι ὁ τὰ πολλὰ φωνήεντα ἔχ..., οἷον, φὴη ἐθερείλοιγον ἔχειν ἀνὰ φαίδιμα ὦμω. λογοειδὴς δὲ ἐστὶ ὁ πεζότερος τῇ συνθέσει, οἷον, ἵπποις τὲ ξανθοὺς ἑκατὸν πεντήκοντα. ...κέφαλος ἢ οὐχ ἅλις, ὅτι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις. σφηκίας, οἷον, ἢ λάθετ᾽, ἢ οὐκ ἐνόησεν, ἀάσατο δὲ μέγα θυμῷ. δολιχουρος, οἷον, Κάστορά θ᾽ ἱππόδαμον, καὶ πυξ ἀγαθὸν Π λυδεύκεα*

Τέλος.

1) fic. 2) fic. 3) fic. 4) fic. 5) fic.